ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΑΡΓΟΥΝΙΟΥ Ταπεινοῦ Κυθήρων ἐπισκόπου

ΔΙΑΛΟΓΟΣ.

Τὰ πρόσωπα,

ΓΡΑΙΚΟΣ καὶ ΛΑΤΙΝΟΣ, (ἤτοι) ΟΡΘΟΔΟΞΟΣ καὶ ΛΑΤΙΝΟΣ.

Παῦλος πρὸς Ἐφεσίους, δ. 25.

Ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη.

*70-634

ΕΠΙΣΤΟΛΗ

Μαξίμου τοῦ ΜΑΡΓΟΥΝΙΟΥ ἐπισκόπου ταπεινοῦ Κυθήρων, ἐγχειρίδιον περὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως, ὡς ἐν εἴδει ἐπιστολῆς.

ΗΚΕ καὶ αὖθις ὡς ἡμᾶς τὸ τῶν ἐπισυμβάντων αὐτόθι μήνυμα, ὡς μὴ ὤφελεν· οὐκ ὀλίγα γὰρ τὴν ψυχὴν διεσπάραξεν· ὑπεψιθύρισε καὶ πάλιν δολίως ὁ ὄφις τῇ ὑμετέρᾳ Εὔᾳ, καὶ ἔσθ' οὓς πάλαι καὶ περιθηνίους ταῖς ὑποβολαῖς ἑαυτῷ πεποίηκε, καὶ τὸν υἱὸν κακῶς ἀπερευξάμενος, ἐναπέθηκε, τὸ τῆς Ἀλώπεκος ὑπερσολὺς περισπούδειον ὡς ἔοικεν. ἐπεὶ εἰς τοὐμφανὲς ἂν τοὔργον ἐπεπράχει, καί γε καὶ ἤλεγξεν, εἴπερ ζήλῳ θείῳ κεκίνητο, καὶ ὡς ἂν μὴ πρόσκειμά τι τῇ τοῦ δόγματος ἀληθείᾳ γένοιτο. Ἀλλ' εἰ μὲν μέχρις ἀκοῆς τὰ τῆς ὑποκείσεως ἐπεφθάκει, καὶ ἄχρις ἐνθυμίων καὶ μόνων ὁ τοῦ ἰοῦ ἀκροβολισμὸς, τάχ' ἂν ἀπελεῖν ἄρτι ἤδη τὸ ὑφερπύσαν τῇ ἐξομολογήσει, καὶ τοιούτου ἐνθυμίου ἐγκαταλέγμμα ἐφεορτάσαι θεῷ, καὶ τὰ νήπια ὑμῶν πρὸς τὴν πέτραν ἂν, τὸ τοῦ δόγματος φημὶ στερεὸν, κατηδάφισο. Ἐπεὶ δὲ καὶ μέχρι συγκαταθέσεως ἤλασε, καὶ οἷα φιλεῖ τὸ ἀξιόπιστον ἔσχεν, ἁπαλῶν καρδιῶν ἐραψάμενον, καὶ ἅπαξ ἐπεισφρῆσαν τῇ διανοίᾳ καταγραμμάτισε τε εἰς τὰ καίρια καὶ συνέχεεν, ὡς μὴ ῥᾷστ' ἂν ἐξαλείφεσθαι, ἀλλ' ἐγκεκολαμμένον ἔχειν τοὐπίσημον· τίν' ἂν τις λοιπὸν ἐξεύροι τοῦ τεχνάσματος ὄλεθρον; καὶ ποίαν ἂν τὴν φωνὴν ἀπορρήξειε, πρὸς θεραπείας τὴν τινα τοῦ ζήτησιν, καὶ τοῦ ἰοῦ ἀπεδίωξιν; εἰ μὴ καὶ αὖθις σωτηρίως πρὸς θεὸν ἀνακεκράξειε λέγων; „ ψαλ. ρι϶.

,, Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. καὶ τὰ βέλη τοῦ δυνατοῦ, πρὸς ἐπιχείρειν καὶ ἐξαφανισμὸν τῆς συκοφάντου γνώμης, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς ἠκονημένα προσλάβοι; Πῶς γὰρ τοιοῦτος ἐγὼ πρὸς τῆς εὐσεβείας αὐτῆς, οἷον ἐκεῖνος, τοιοῦτον συμπλασάμενος δόγμα, ἵνα μόνον εὐσεβέστερος τῇ πρὸς ἐμὲ συκοφαντίᾳ τοῖς πολλοῖς δόξῃ, ὑπεζωγράφησε; πόθεν ὁ ὑπὲρ τῆς τοῦ δόγματος συστάσεως, πάλαι μὲν καὶ ἐν Εἱρκτῇ καταχλεισθῆναι ἀσμένως ὑπομείνας, καὶ τῷ χρεὼν ὑπηρετῆσαι μᾶλλον, εἴγε καὶ τούτου προσδεήσειεν, εἰ μόνον τὰ τοῦ καθ' ἡμᾶς δόγματος σταίη ἔτι ἀσφαλοῦς, ὡς πολλοῖς δῆλον, οἷος γενόμενος; καὶ νῦν δὲ τοῦτο ὡς θεὸς οἶδε, σκοπὸν πάνυ ποιούμενος δι' ὧν ἔγραψά τε καὶ γράφω, ἵνα τοὺς ἑτέρως διατεθειμένους, ἐκ τῶν ὀνόντων Γουῶ τὰ περὶ τὸ δόγμα συνεφελκύσω πρὸς τὴν ἀλήθειαν· ἆρ' οὖν ὁ τούτῳ γεννηθεὶς καὶ συντραφεὶς, καὶ ἐνεάσας ἤδη, καὶ τι παθὼν ὑπὲρ τούτου, πρύμναν, τὸ τοῦ λόγου, κρουσάμενος, εἰς Ἄνδρα λοιπὸν παραγγείλας, ὥσπερ ἐκ τοῦ ἀπροσδοκήτου μετέβαλον, ἄλλως καὶ Ἱερωσύνης ἀξιωθείς; καὶ πῶς ἂν τοῦτο λόγον ἔχει, παρά γε νοῦν ἔχουσιν

ἀπόντα

ἀνοίς; Ἀλλὰ γὰρ ἀπάσαις αἱρεῖν αὐτὸν ἅπαξ οὐ δεδύνημαι· οὐ δὲ γὰρ οὐδὲ κακόν τι οἷον πεφυκός, τοῦτο μὴ εἶναι τοιοῦτον, καὶ ὁ ἐν πόροις πορισμάτατος ποιῆσαι οἷος ἂν ποτε γένοιτο, εἰ μὴ αὐτὸ καθ' αὑτὸ εἰς τὸ μηδὲν, ὅπερ ἐστὶν, ἀφ' ἑαυτοῦ, χωρήσειεν. Ὕδραν τὴν εἴποι τις τὴν μυθικὴν, ἀλλ' ἐπ' ἀλλήλοις μὲν τομαῖς τὴν κεφαλὴν κατατεμνομένην, τοσαύτας δ' ἀνταναφῦσαν. εἰ δὲ ἐπὶ τοῦτο μὴ εἰς ἄπειρον τὰ τῆς ἀναφύσεως, ἀλλ' ἀποκέκοπται μὲν ἡ συκοφάντις καὶ ὑπερήφανος κεφαλή, ψήφῳ ῥομφαίας ἀρχιερατικῆς, καὶ τὴν σὺν αὐτῇ, ἔτι δὲ ζωῆς τι ἀμυδρὸν καὶ τῇ οὐρᾷ ὑπολέλειπται, καὶ ἄσημόν τι καὶ αὕτη σαίνει, κονιορτὸν ἐπεγείρουσα, ὅσον οὔπω μέντοι τὸ τῆς τοιαύτης κινήσεως ἀποβαλεῖ ἄτακτον, καὶ δίκην ἐνταυθοῖ τὴν προσήκουσαν, τὴν εἰς τὸ μὴ ὂν ὑποχώρησιν λήψεται. Τίνα δ' ἂν εἴη τὰ βέλη τοῦ δυνατοῦ, τὰ τοῖς ἐρημικοῖς ἄνθραξιν ἠκονημένα, καὶ κατ' αὐτοῦ παρ' ἡμῶν ἐπιπεμφθησόμενα, καὶ τὰ σπλάγχνα κατακεντήσοντα; ὡς ἂν καὶ αὐτὸς φωραθείη μάτην συκοφαντῶν,

καὶ

καὶ ὑμεῖς δι' οὗπερ ἂν τὸ συνειδὸς εἰ ἀληθὲς ἔχοιτε, κἀγὼ τὴν περὶ ἃ ἀδίκως σεσυκοφάντημαι ἀπολογίαν παράσχοιμι; ταῦτα πάντως. Ἰωάν. κεφ. ιε

Ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· ἰδοὺ δὴ καὶ τὰ βέλη τοῦ δυνατοῦ τὰ τοὺς πολεμίους τῆς τε τοῦ υἱοῦ πρὸς τὸν πατέρα ὁμοουσιότητος, καὶ τῆς τοῦ πνεύματος, πρὸς πατέρα, καὶ υἱὸν, βάλλοντά τε καὶ κατατιτρώσκοντα, ναὶ μὴν καὶ ἀποκτείνοντα· ἐκ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα, ὡς ἐξ ἀρχῆς τῆς εἰς τὸ εἶναι παραγούσης αὐτὸ ἐκπορευτῶς, ἐξ οὗ καὶ ὁ υἱὸς γεννητῶς. ἐπεὶ δὲ πνεῦμα ἀληθείας τοῦ υἱοῦ φημὶ, ὡς συμπεφυκὸς μὲν αὐτῷ, καὶ οὐκ ἀλλότριον τῆς ἐκείνου οὐσίας· διὸ καὶ παρὰ πατρὸς καὶ υἱοῦ ἡμῖν πέμπεται, ὁμοδυνάμως τοῦτο καὶ ἀπαραλλάκτως πεμπόντων ἀμφοῖν, καὶ ὡς μιᾶς καὶ τῆς αὐτῆς ἀρχῆς σχέσιν ἐχούσης πρὸς τὰ ἔξω, κατὰ τῶν αἱρετικῶν ἀγωνιστικώτερον· κἀκ τούτου παρὰ τοῖς θεολόγοις, ὁμοούσιος τῷ πατρὶ ὁ υἱὸς δείκνυται. ὡς δὲ καὶ τὸ πνεῦμα, πατρὶ καὶ υἱῷ· φυσικῆς ταύτης τῆς ἐκ πατρὸς καὶ υἱοῦ ἢ δι' υἱοῦ πέμψεως τοῦ πνεύματος νοουμένης. οὐ μέντοι λειτουργικῆς τινὸς, καὶ ὡς ἡ τῶν κτισμάτων. Ταῦτα τὰ βέλη τοῦ δυνατοῦ, δι' ὧν καὶ συκοφάντις γλῶττα καταπιάζεται, καὶ υἱομάχων τε καὶ πνευματομάχων αἱρετικῶν, ὀφρῦς καταβάλλεται· ἀλλὰ καὶ ἐρημικοῖς ταῦτα προσήκοντα ἀνθέραξιν. οὗτοι δ' ἂν εἶεν κατά γε τὸν ἐμὸν λόγον, αἱ πνευματικώτεραι καὶ νοερώτεραι τῶν διδασκάλων ἑρμηνεῖαι. ποῖαι τίνες; αὗται· ἐκ τοῦ πατρὸς μὲν ἐκπορεύεται, δι' υἱοῦ δὲ χορηγεῖται τῇ κτίσει· ὡς ἐκ πατρὸς μὲν κατ' οἰκείαν ὑπόστασιν προαγόμενον, ἐκ πατρὸς μέντοι καὶ υἱοῦ, ἢ δι' υἱοῦ, ὅτι πάντα ὅσα ἔχει ὁ υἱὸς, ἐκ τοῦ πατρὸς ἔχει· χορηγούμενον συνεπειλημμένως ἐν τῇ ἐκ τοῦ πατρὸς ἐκπορεύσει, καὶ τῆς ἐξ αὐτοῦ χορηγίας τοῦ πνεύματος πρὸς τὴν κτίσιν νοουμένης, ἢ κἂν τῇ αὐτῇ λέξει συμπεριειλημμένης, καὶ τῆς χορηγίας τὴν πέμψιν ἑρμηνευούσης· καὶ αὖθις ἐκ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, ἢ ἵνα μὴ νοῆται υἱὸς καὶ τὸ πνεῦμα, τῆς τοῦ υἱοῦ μεσιτείας τοῦτο ἀποκλειούσης· ἢ ἵνα μὴ κτίσμα, ὡς ἔξω τῆς θεότητος κατὰ τοὺς αἱρετικοὺς τῆς ἐκπορεύσεως νοουμένης· καὶ διὰ τοῦτο δι' υἱοῦ, τουτέστι δι' ὅλης τῆς φύσεως τοῦ υἱοῦ, ὡς τε ἐν τῇ ἐκπορεύ-

σι μὴ ἀποξενούμενον τῇ, ἀλλὰ συνουσιωμένον πατρὶ καὶ υἱῷ νοεῖσθαι τὸ
πνεῦμα τὸ ἅγιον, ἐκεῖνος, ὁ μέγας Βασίλειος, καὶ ὁ Νύσσης Γρηγόριος.
Ἀθανα. „ Οὕτως, ὁ μέγας Ἀθανάσιος, λέγων, ὂν δὲ ἀδιαίρετον ἐν τῇ τῆς τριάδος
„ δόξῃ δοξάζεσθαι τὸ πνεῦμα τὸ ἅγιον, μὴ παροδικῶς ὂν ἐκ πατρὸς δι'
„ υἱοῦ, ἀλλὰ ποιητικῶς, ὡς αὐτοί φασιν, οἱ αἱρετικοὶ δηλονότι καὶ πνευμα-
τομάχοι· ἢ καὶ τρίτον, ἐκ πατρὸς δι' υἱοῦ ἐκπορευόμενον, διὰ τὸ ἐκ πα-
τρὸς μὲν ὑποστῆναι, δι' υἱοῦ δὲ ἐκλάμπειν, καὶ πεφηνέναι, καὶ γνωρί-
ζεσθαι, εἴτε ἀιδίως ταῦτα ἐκ τῆς περὶ ἐπινοίας τοῦ υἱοῦ, καθὸ υἱός, ὡς ἂν
αὐτοῦ προσωπικῶς διακρίνοιτο. εἴτε ἐν χρόνῳ οἰκονομικῶς μετὰ τὸν υἱόν,
καὶ δι' αὐτοῦ ἡμῖν γνωριζόμενον. οὕτως Ἀθανάσιος, Βασίλειος, Γρηγόριος
ὁ Νύσσης, καὶ πρὸ τούτου, ὁ θαυματουργὸς Γρηγόριος, καὶ ἡ χρυσῆ σύμ-
πασα τῶν θεολόγων σειρά. καὶ αὖθις, καὶ προχεῖται παρ' αὐτοῦ, τοῦ υἱοῦ
δηλονότι τὸ πνεῦμα, καθάπερ ἀμέλει. καὶ παρὰ τοῦ πατρός. καὶ προ-
χεῖται ἐκ πατρὸς δι' υἱοῦ κατὰ τὸν ἱερὸν Κύριλλον, ἑρμηνευτικῆς κἀν
Ἰωελ. β „ ταῦθα τῆς προχύσεως οὔσης, τῆς πρὸς ἡμᾶς πέμψεως. κατὰ τό, ἐν
Παῦλος „ ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.
πρὸς Τί- „ καὶ τό, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ. καὶ τό, εἴ τις δι-
τον. γ. „ ψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ
Ἰωάν. ζ „ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο
δὲ εἶπε περὶ τοῦ πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν·
προχεῖται δὲ ἐκ πατρὸς καὶ υἱοῦ, ἢ ἐκ πατρὸς δι' υἱοῦ, εἰς ἁγιασμὸν
τῆς κτίσεως, ἵνα ἀποδειχθῇ ὁ υἱὸς τῆς αὐτῆς δυνάμεως καὶ οὐσίας τῷ πα-
τρί, τὴν αὐτὴν ἔχων σὺν αὐτῷ δύναμιν τοῦ τὸ πνεῦμα προχεῖν εἰς τὴν
κτίσιν, ὡς ἔχων τὸ αὐτὸ πνεῦμα ἐν ἑαυτῷ φυσικῶς, καὶ οὐκ ἐπικλήτως κατὰ
τοὺς αἱρετικούς· καὶ αὖθις, πρόεισιν ἐκ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα, ἵνα
πατρὶ καὶ υἱῷ ἀποδειχθῇ ὁμοούσιον καὶ τῆς τοιαύτης προόδου τὴν
πέμψιν ἑρμηνευούσης· δείκνυται δὲ ὁμοούσιον πατρὶ καὶ υἱῷ ἐκ τῆς τοι-
αύτης προόδου, τῆς πρὸς τὴν κτίσιν σχετικῶς νοουμένης, ὅτι φυσικὴ ἐστὶ
πρόοδος, καὶ οὐχ ὡς ἡ τῶν κτισμάτων, καὶ ὅτι καὶ αὐτὸ τὸ πνεῦμα
περιϊόν, ἓν καὶ τὸ αὐτὸ ἔργον μετὰ πατρὸς καὶ υἱοῦ τελειοῖ. καὶ διὰ
τοῦτο

τοῦτο ὁ ἱερὸς φησὶ Κύριλλος· ὅτι τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἡμᾶς ἀποτελεῖ τοῦ θεοῦ, πρόεισι δὲ καὶ ἐκ πατρός, καὶ υἱοῦ πρόδηλον ὅτι τῆς θείας ἐστὶν οὐσίας· εἰ δὲ τοῦτο εἶχεν αἰτίους καὶ τοῦτο ἤθελεν ἀποδεῖξαι, ἢ ἐκ πατρὸς προϊέναι τὸ πνεῦμα, εἴτ᾽ οὖν σύνοδος, εἴτε ἡ ἐπὶ Δαμάσου ἐπισκόπου Ῥώμης δευτέρα, εἴτε ἐπὶ Σιλβέστρου, πρώτη, οὐ μᾶλλον ἂν διατεινοίμην, φημὶ δὲ πρὸς τὸ πνεῦμα ὁ πατρὶ καὶ υἱῷ ὁμοούσιον εἶναι, καίτοι κἀκείνη νοοῦσα αὐτὸ ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι, τῇ κατὰ Νίκαιαν κατ᾽ ἴχνος ἀκολουθοῦσα. πῶς οὐκ ἂν εὐλόγως τε καὶ θεαρέστως ἄμφω τὰ γένη ἀλλήλοις κατὰ τοῦτο συμβαῖεν, εἴπερ μὴ ἐθελοκακήσαιεν; ἢ πῶς δυνατὸν ὂν οὕτω, καὶ ἐπὶ τοιούτῳ θεμελίῳ καλῶς οἰκονομῆσαι τὰ τῶν ἐκκλησιῶν, οὐκ ἂν ἀποδοῖεν λόγον περὶ τούτου θεῷ, οἱ τὰ δυνατὰ μὴ ἐπιμεληθέντες, ἢ ἐπιμελησόμενοι; Ἆρ᾽ οὖν παρὰ τοῦτο τὸ χρυσοῦν τοῦ δόγματός μοι παρακεχάρακται νόμισμα; καὶ πῶς ἄν τις τοῦτο εἴποι, εἰ μὴ παντάπασι μαίνοιτο; μᾶλλον γὰρ ἂν καὶ προσκύξητο τε καὶ ἐξελαμπρύνετο. Ταῦτα τοίνυν τὰ βέλη τοῦ δυνατοῦ, τὰ τοῖς ἐρημικοῖς ἠκονημένα ἄνθραξιν, ἵνα καὶ τιτρώσκωσιν ἅμα, καὶ καταφλέγωσι τοὺς αἱρετικούς, καὶ τοὺς ἔνδον τοῦ καθ᾽ ἡμᾶς ἱεροῦ περιβόλου τυγχάνοντας, πρὸς ἀγάπην τοῦ ὄντως ἐραστοῦ τοὺς ἀληθοὺς ἐραστὰς ἀναπτεροῖέν τε καὶ προσεπανάπλειεν. οὕτως ἥνωται ἀλλήλοις τὰ θεῖα πρόσωπα ἀσυγχύτως, ἀλλὰ καὶ ὑπερηνωμένως διακέκειται. καὶ πατὴρ υἱοῦ μὲν καὶ πνεύματος τῇ τῆς ἀρχῆς ἐπινοίᾳ τῆς πρὸς τὰ ἔνδον νοουμένης διακέκειται. ὅτι τοῦ μέν, γεννητικῶς ἀρχή· τοῦ δέ, ἐκπορευτικῶς. καὶ ὅτι μόνος ἀγέννητος καὶ πατήρ· τὸ δὲ πνεῦμα τὸ ἅγιον, πατρὸς μέν, ὅτι παρ᾽ αὐτοῦ ἐκπορεύεται, υἱοῦ δέ, καὶ τῷ τῆς προόδου τρόπῳ· ὅτι ἐκεῖνος μὲν γεννητῶς, τοῦτο δὲ ἐκπορευτῶς, ἐκ τοῦ αὐτοῦ πατρός. καὶ ὅτι δι᾽ υἱοῦ πέφηνε, καὶ ὅτι ἐξ ἀμφοῖν ὡς χορηγούμενον πρόεισιν, ἕτερον γὰρ πάντως τῷ προσώπῳ γοῦν τὸ προϊόν, τῶν ἐξ ὧν πρόεισιν. οὕτως ἡμεῖς καὶ νοοῦμεν τὰ θεῖα θεοπρεπῶς, καὶ διακρίνειν προσωπικῶς παρά τε τοῦ τῶν θεολόγων πρώτου σωτῆρος ἡμῶν, καὶ παρὰ τῶν τῇ τούτου κατηκολουθηκότων διδασκαλίᾳ, ἐμυήθημέν τε καὶ ἐδι-

Κύριλλ.

ἐδιδάχθημεν· ἀλλὰ περὶ τούτων μὲν, ἐν ἄλλοις πλατύτερον, ὅσον ἐδίδου ἡμῖν ὁ θεὸς καὶ δύνασθαι, καὶ τὰ μάλιστα βούλεσθαι, ἐπραγματευσάμεθα· τὸ δὲ γε νῦν ἔχον, καὶ ταῦτα δίκην ἐγχειριδίου πρὸς παρεσκευάσθω τοῖς τὰ τῆς ἡμετέρας γνώμης ἂν ἐξετάσουσι. Δοίη δὲ ὁ θεὸς τὰ κρείττω καὶ αὐτοῖς, καὶ ἡμῖν, ἔν τε τοῖς ἤθεσι, καὶ τῇ τῶν ἐντολῶν αὐτοῦ τηρήσει, προνοεῖν. καὶ συγγνώμην ἅμα παράσχοιτο τοῖς μάτην ἡμᾶς συκοφαντήσασιν. Ἔρρωσθε. ἐνετίηθεν, ποσειδεῶνος ἐνάτῃ φθίνοντος. κατὰ τὸ ,αφπζ. ἔτος τῆς ἐνσάρκου τοῦ Σωτῆρος ἡμῶν οἰκονομίας.

ΔΙΑΛΟ-

ΔΙΑΛΟΓΟΣ

ΜΑΞΙΜΟΥ ΤΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

Ταπεινοῦ Κυθήρων Ἐπισκόπου.

Τὰ πρόσωπα,

ΓΡΑΙΚΟΣ καὶ ΛΑΤΙΝΟΣ: ἤτοι, ΟΡΘΟΔΟΞΟΣ καὶ ΛΑΤΙΝΟΣ.

Ἀρχομένου πρώτου τοῦ ΛΑΤΙΝΟΥ, καὶ ἀποκρινομένου τοῦ ΓΡΑΙΚΟΥ.

Ο ΛΑΤΙΝΟΣ.

Διατὶ ἀποσχίζεσθε ἀφ' ἡμῶν, καὶ οὐ συγκοινωνεῖτε οὐδαμῶς ἡμῖν, χριστιανοῖς οὖσι, καὶ χθὲς καὶ πρότερα συμμετεσχηκόσιν ἡμῖν, τῆς αὐτῆς θείας ἀναγεννήσεως, ὡς δὲ καὶ τῆς ἱερᾶς καὶ θείας τραπέζης, ὡς ἐν μεθ' ἡμῶν οὖσι σῶμα Χριστοῦ, νῦν δὲ ἐξ ἡμῶν, ὡς ἀπὸ ὄφεως ἐκδιδράσκετε; φράζε οὖν ἡμῖν ἀδεῶς τε καὶ φιλαλήθως, ἵν' εὖ ἴδωμεν τὸ αἴτιον τῆς πηλίκης ταυτησὶ διαστάσεως, οὐ γάρ τι δέος ἔπεισεν 1586.
ἡμῖν ἐνταῦθα, μήτ' ἀληθῆ προφέρειν κἂν ἐν τῷ παρόντι ἔπει· δηλαδὴ τῷ ὀγδοηκοστῷ ἔκτῳ, βαρύτατος τῶν πώποτε μνημονευομένων διωγμός τε καὶ κίνδυνος, τοῖς μὴ βουλομένοις συγκοινωνεῖν ἡμῖν, ἐπεγήγερται.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Ἐπειδὴ γὰρ αἰτεῖς ἀδεῶς τε καὶ φιλαλήθως παρ' ἡμῶν μαθεῖν τὸ τῆς διαστάσεως αἴτιον, ἤδη σοι φράζω. οὕτω καὶ γάρ τις δύναται τὸ τῆς ἀνοίας ἐκφυγεῖν κακὸν, καὶ καταμαθεῖν τὴν ἀλήθειαν, ὅταν ἀδεῶς τε

καὶ ἀφόβως ὁ προσδιαλεγόμενος φθέγγηται, καὶ μὴ μεθ' ὑποκρίσεως πίστεως καὶ διαλέξεως· οὐ δεῖ γὰρ δεδιέναι τοὺς φιλαλήθως περὶ πίστεως μέλλοντας διεξιέναι. Ἀληθῶς μὲν οὖν ἔφης ὦ οὗτος ὡς χθὲς καὶ πρότερα συμμετεσχηκότες ἡμῖν ὁμοῦ τῆς αὐτῆς θείας ἀναγεννήσεως, τοῦ θείου φημὶ βαπτίσματος, καὶ τῆς αὐτῆς ἱερᾶς τε καὶ θείας κοινωνίας τοῦ ἀχράντου καὶ ζωοποιοῦ δεσποτικοῦ σώματος, καθὸ καὶ ἓν σῶμα ἄμφω ἦμεν Χριστοῦ, καὶ μέλη ἐκ μέρους, κεφαλὴν ἔχοντες, τὸν Χριστὸν· ὁμογνωμονοῦντες τῇ πίστει. Ἀφ' οὗ δὲ τοὺς τῆς Εὐσεβείας ἀβούλως, ἢ μᾶλλον εἰπεῖν ἀλόγως, διαρρήξαντες ὅρους, τῷ ζυγῷ τῶν πάλαι ἀναθέματι καθυποβληθεισῶν αἱρέσεων ἀπεκλίνατε τοὺς αὐχένας, πῶς ὅλως ἐστὶ δυνατὸν, μὴ φεύγειν ἀφ' ὑμῶν, ὡς ἀπὸ ὄφεώς τινος ἰοβόλου τε καὶ θανατηφόρου; καὶ μὴ μισεῖν ὑμᾶς, τέλειον

ψαλμ. λ.η. „ μῖσος, ὡς ὁ θεοπάτωρ διδάσκει Δαβίδ· εἰ γὰρ ὁ φιλῶν πατέρα, ἢ μη-

Ματθ. ι. „ τέρα, ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος λέγει ἡ ἀλήθεια. τὸ συμφιλιάζειν πεπορνευκόσιν ἀπὸ Χριστοῦ καὶ στοργὴν τῷ νυμφίῳ Χριστῷ μὴ φυλάξασιν, πόσης οὐκ ἔχετε ἀναξιότητος, ἢ μᾶλλον εἰπεῖν ἀθλιότητος, τοῖς Εὐσεβεῖν ἑλομένοις, καὶ ἀντὶ πάντων ἔχειν τὸν Χριστόν. ἢ οὐχὶ πάλαι καθυπεβλήθη τῷ ἀναθέματι ἡ τῶν πνευματομάχων θεομαχία; ἡ τοῦ Ἀπολιναρίου χριστομαχία; ἡ τοῦ Μάνεντος, καὶ Μαρκίωνος, καὶ Οὐαλεντίνου, μανία. ὧν οἱ μὲν, τὴν θεότητα, οἱ δὲ, τὴν ἀνθρώπησιν ἀπαρνοῦνται, φάσκοντες, σῶμα ἄψυχόν τε καὶ ἄνουν εἰληφέναι τὸν λόγον, καὶ τοῦτο ἐξ οὐρανοῦ, καὶ

σημ. περὶ τῶν ἀζύμων. προαιωνίως προτεθησαυρισμένον, καὶ οὐκ ἐκ Μαρίας, οὐ δὲ ἡμῖν ὁμοούσιον. Ἢ οὐχὶ ταῦτα καταγγέλλει ἡ τῶν ἀζύμων ἄμικτος αὐτῶν θυσία, καὶ ἀκοινώνητος κοινωνία; ὡς οἱ τῶν τελεοτέρων αὐτῶν ἴσασι μύσται; Τί γὰρ ἄλλο διδάσκει τὸ ἄμικτον εἶναι ζύμης καὶ ἅλατος, ἢ τὸ ἄψυχόν τε καὶ ἄνουν; Τί δὲ τὸ ἅπαξ πλασθῆναι καὶ προαιωνίως προτεθησαυρισμένον ἔχειν, καὶ μοναδικὸν εἶναι; ἢ τὸ ἐν οὐρανοῖς προϋπάρχειν τὴν μυθευομένην παρ' αὐτῶν προσληφθεῖσαν ὑπὸ τοῦ λόγου σάρκα. Τί δὲ τὸ καθαρὸν ὀνομάζειν; ἢ τὸ μὴ τὴν ἁμαρτήσασαν λέγειν ἐν τῷ Ἀδὰμ φύσιν προσλαβέσθαι τὸν θεὸν λόγον. Τί δὲ τὸ μοναδικὸν εἶναι καὶ ἀκοινώνητόν τε καὶ ἄμικτον, τῶν εἰς ἀνάμνησιν καὶ ἀναφορὰν προσφερομένων

λοιπῶν

λοιπῶν προσφορῶν, τῆς Θεομήτορος φημὶ καὶ τῶν λοιπῶν ἁγίων τε καὶ εὐσεβείᾳ ζησάντων ἀνθρώπων σημαίνειν; ἢ τὸ μοναδικήν τε καὶ ἀπεξενωμένην καὶ ἀκοινώνητον εἶναι τὴν προσληφθεῖσαν σάρκα τῆς ἀνθρωπίνης οὐσίας καὶ φύσεως. Τί δὲ καὶ τὸ λέγειν διὰ τῆς εὐχῆς, γίνεσθαι ἔνζυμα; ἢ τὸ διὰ τῆς τοῦ λόγου ἑνώσεως, γίνεσθαι ἔμψυχά τε καὶ ἔννοα, ἀρκούσης τῆς τοῦ λόγου θεότητος, ἀντὶ ψυχῆς καὶ νοῦ. Τί δὲ τὸ συλλειτουργεῖν ἀρμενίοις; ἢ τήν τε τετάρτην συναναθεματίζειν σύνοδον, καὶ τοὺς λέγοντας παθητὴν τοῦ λόγου τὴν θεότητα. Τί δὲ τὸ πυργατόρειον; οὐχὶ τοῦ Μανιχαϊκοῦ πυρός, καὶ τῶν νῦν Βογλεμίλων ἀσέβεια, τῶν λεγόντων μηδὲν διαφέρειν τῶν ἀλόγων ζώων, τὰ τῶν ἁγίων σώματα, καὶ τῶν ἀθετούντων τὴν κρίσιν τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας. τούτοις οὖν ὑμεῖς συνεζεύχθητε ἀπαρνησάμενοι τὴν εὐσέβειαν· τὸ δὲ χαλεπώτερον, καὶ πάντων τῶν κακῶν κάκιστον, τὸ καὶ ἀνερυθριάστως ὡς εὐσεβεῖς ἀνομολογεῖν, καὶ διδάσκειν τὰς τούτων αἱρέσεις: προσφυῶς ἂν ἀκούσοισθε καὶ αὐτοὶ ἐκ τοῦ θείου προφήτου, ὄψις πόρνης ἐγένετό σοι, καὶ τὰ ἑξῆς. Ἢ οὐχὶ πλατεῖ τῷ στόματι ἀνακηρύττεις, τὰ ἄζυμα δεκτὰ εἶναι θεῷ, καὶ σῶμα Χριστοῦ; καὶ ταῦτα καθεκάστην ἀκούων ἐν τοῖς κατηχήσεσιν, εἴ τις οὐ βάλλει ζύμην καὶ ἅλας, ἐν τῇ προσφορᾷ, ἀνάθεμα ἔστω· καὶ πάλιν εἴ τις προσφέρει ἄζυμα εἰς θυσίαν, ἀνάθεμα ἔστω. Ἢ οὐχὶ καὶ γυμνῇ πάλιν τῇ κεφαλῇ ἀνακηρύττεις τε καὶ διδάσκεις, ὃ δὲ καὶ γραφῇ παραδέδωκας, ὁμολογεῖν καὶ πιστεύειν τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν, καὶ ἔλαττον εἶναι πατρὸς καὶ υἱοῦ;

περὶ τοῦ καθαρτηρίου.

Ἱερεμίας γ

Ὁ ΛΑΤΙΝΟΣ.

Τί οὖν ἔκπαλαι τὰς ἀναθέματι καθυποβληθείσας αἱρέσεις, ἡ τῆς Ῥώμης ἐκκλησία ἔσεβε καὶ κατεῖχε; καὶ εἰ τοῦτο, πῶς ἐν ταῖς οἰκουμενικαῖς συνόδοις οἱ ταύτης ἀρχιερεῖς ἀπήντων, καὶ τὰς πράξεις αὐτῶν ἐπεκύρουν; πῶς δὲ καὶ τὴν ἑβδόμην ὁ Ἀνδρειανὸς παρὼν, ἐπεσφράγισε σύνοδον, εἰ τὰς ἔκπαλαι ἀναθέματι καθυποβληθείσας ἔσεβε καὶ κατεῖχε; ξενίζοντα ταῦτα λέγεις ὦ οὗτος· εἰ δὲ ὕστερον ἡ τῆς Ῥώμης ἐξέπεσεν, (ὡς σὺ φῂς) ἐκκλησία, φράσον, πότε, καὶ παρά τινος, καὶ πῶς τὴν τοιαύτην

Ἀνδρ.

πέπονθε πλῶσιν. τάχα ἂν οὕτως ἐπιγνωσόμεθα καθαρῶς τὴν περὶ τούτων ἀλήθειαν.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Οὐδαμῶς ἔκπαλαι τὰς τοιαύτας αἱρέσεις ἡ τότε ἁγιωτάτη Ἐκκλησία τῆς Ῥώμης, ἔστεργε καὶ κατεῖχεν· ὕστερον δὲ καὶ προσφάτως, ἐπί τε τῆς βασιλείας κῦρ Βασιλείου τοῦ βουλγαροκτόνου, καὶ τῆς τοῦ ἁγιωτάτου Σεργίου πατριαρχίας, ἡ τῆς Ῥώμης Ἐκκλησία ἐκκλάπη, καὶ κατετυραννήθη ὑπὸ τῶν τοιούτων αἱρέσεων, καὶ τὴν τοιαύτην πέπονθε πλῶσιν· ὅπως δὲ, καὶ παρὰ τίνος, καὶ πότε, ἤδη σοι ὡς ἐν βραχεῖ διαλέξομαι.

Λεύκιος.

Λεύκιος τις ὀνόματι, τὴν δι' ἀστρονομίας μαντευτικὴν εἰς ἄκρον ἐξησκημένος, καὶ τὴν Ἀπολιναρίου αἵρεσιν ὅλην ἐκπεπωκώς, ὡς δὲ καὶ τὴν τοῦ Μάνεντος, Οὐαλεντίνου τε, καὶ Μαρκίωνος, αὕτη γὰρ ἡ αἵρεσις, τὴν μὲν τοῦ κυρίου ἐνανθρώπησιν ἀπαρνεῖται, οὐράνιον κατεληλυθέναι προσειληφέναι τὸ κύριον σῶμα, ἄψυχόν τε καὶ ἄνουν. ἀρκεῖν ἀντὶ νοῦ καὶ ψυχῆς, τὴν τοῦ μονογενοῦς θεότητα φάσκοντες, διὸ καὶ τὴν ἄζυμον ἐκτελοῦσι θυσίαν, κατάλληλον τῷ προσληφθέντι ἀψύχῳ τε καὶ ἀλόγῳ, ὡς φασί, σώματι. ὡς δὲ τὴν πνευματομαχικὴν οὗτος ὅλην ἐκπεπωκὼς τὴν αἵρεσιν, μετὰ τὴν πέμπτην οἰκουμενικὴν σύνοδον, ἥτις τὰς τοιαύτας αἱρέσεις τῷ ἀναθέματι καθυπέβαλε, μετὰ τῶν αἱρεσιαρχῶν τούτων, εἰς ὄψιν ἦλθε τῷ ἁγίῳ Γρηγορίῳ τῷ τῆς Ἀκραγαντίνων ὕστερον Ἐκκλησίας ἀρχιερατεύσαντι, καὶ πλείστας ἄμφω συγκροτήσαντες διαλέξεις, κατὰ κράτος ὁ θεῖος Γρηγόριος τοῦτον κατίσχυσεν, εἶτα ἐκ Παλαιστίνης ἐκδιωχθείς, κατηύτησεν εἰς Ἀκράγαντα, μετὰ τὴν τοῦ θείου Γρηγορίου κατάσχεσιν· διὸ καὶ τῆς τῶν Ἀκραγαντίνων ἐπέβη, καὶ πλεῖστα μιαρὰ ἐκεῖσε κατεργασάμενος, ὡς καὶ τὴν ἱερὰν Τράπεζαν καταστρέψαι, διὰ τὸ τῶν ἁγίων μαρτύρων τὰ λείψανα ἐξελεῖν ἐξ αὐτῆς. ἡγεῖτο γὰρ βδελυκτὰ ταῦτα, ὁ βέβηλος. κἀκεῖθεν πάλιν ἐκδιωχθεὶς διὰ τὰς ἀνοσιουργίας αὐτοῦ, τὴν Ἰταλίαν κατέλαβε. κἀκεῖσε διὰ τῆς ἀστρολογίας αὐτοῦ, πλεῖστον λαὸν ἀπατήσας, τὸν τῶν αἱρέσεων τούτοις, ἐξήμεσε βόρβορον. ὕστερον δὲ μετὰ τὴν τελευτὴν τοῦ ἁγιωτάτου Ἀνδριανοῦ πάπα, ὁ Λέων τῆς τῆς Ῥωμαϊκῆς Ἐκ-

κλησίας

κλησίας ἀναδεξάμενος οἴακας, καὶ παρὰ τῶν πρεσβυγενῶν Ἀνδρειανοῦ φθονηθεὶς, καὶ πολλὰ παθὼν, προσέδραμεν πρὸς Κάρουλον τὸν τῆς Φραγγίας ῥῆγα. Καρολ. καὶ τοῦτον εἰς Ῥώμην ἀναγαγὼν, ἔστεψε Βασιλέα. τῷ γοῦν Καρούλῳ τούτῳ, συνείποντο καὶ οἱ τῶν αἱρέσεων τούτων, ἐργάται καὶ μύσται Λευκίου· κἀκεῖσε γοῦν διατρίβοντες, καὶ τοὺς περὶ τὴν Ῥώμην ἀπατῶντες ἀφελεστέρους, εἰς ἑαυτοὺς μεθεῖλκον, καὶ τὴν τῶν τοιούτων αἱρέσεων λύμην μετεδίδουν. ὅθεν καὶ τοῦ χρόνου παρρυέντος, πλεῖστοι τῆς κακίας μετελάμβανον ταύτης, καὶ τὸ κακὸν ἐπλατύνετο. Γρηγόριος ὁ θεολ. καὶ γὰρ θᾶττον ἄν τις ὀλίγης κακίας μεταλάβοι πλουσίως, ἢ ἀρετῆς βοηθείας κατὰ μι- » κρὸν φησὶν ἡ θεολόγος φωνή. Καὶ μεθ' ἱκανοὺς χρόνους, ἕτερος Λέων ἁγιώτατος, τοὺς τῆς Ἐκκλησίας ταύτης ἀναδεξάμενος οἴακας, στέλλει πρὸς Θωμᾶν τὸν ἁγιώτατον πατριάρχην Ἱεροσολύμων, παραδηλῶν αὐτῷ, τὴν περὶ τὴν Ἐκκλησίαν αὐτοῦ λύμην, ἅμα καὶ ἐξαιτῶν, ἄνδρας λόγου καὶ ἀρετῆς ἐπιστήμονας, πεμφθῆναι αὐτῷ εἰς βοήθειαν· οὐ δὲ γὰρ ἦν δυνατὸν εἰς Κωνσταντινούπολιν πέμψαι, διὰ τὸ τὴν δευτέραν ἐκεῖσε κατάρχειν εἰκονομαχίαν, καὶ τὸν θηριώνυμον καταστυραννεῖν τύραννον. στέλλονται τοίνυν παρὰ τοῦ ἱεράρχου Θωμᾶ ἐξ Ἱερωσολύμων, ἄνδρες λόγῳ καὶ ἀρετῇ ἐπιστήμονες· ὅ, τε Σύγκελος Μιχαὴλ ἅμα τοῖς δυσὶν αὐταδέλφοις, Θεοδώρῳ τε, καὶ Θεοφάνη τοῖς γραπτοῖς, τὰ πρόσωπα ὕστερον διὰ τὰς θείας εἰκόνας στιχθεῖσι. σὺν τούτοις δὲ, καὶ Ἰὼβ ὁ θαυμάσιος, ἐπειδὴ καὶ πρὸς τοὺς ἐν Κωνσταντινουπόλει χριστιανοὺς ἔμελλον κομίζειν ἐπιστολὰς κατηχητικὰς ἐξ Ἱεροσολύμων τοῦ πατριάρχου, τοῦτο γὰρ καὶ παρ' αὐτοῦ ἀπηγγέλθησαν, κατάδηλοι γίνονται τῷ τυράννῳ, καὶ τῆς πρὸς Ῥώμην πορείας ἐξείργονται, ὡς καὶ ὁ βίος διαγορεύει τοῦ ἁγίου τοῦ δὲ Μιχαὴλ τοῦ συγκέλου. μανθάνει δὲ ταῦτα ὁ τῆς Ῥώμης ἁγιώτατος πάπας Λέων, λυπεῖται, ἀδημονεῖ, εἶτα τί; ἐξάγει μὲν ἐκ τοῦ σκευοφυλακίου τὰς ἱερὰς τοῦ θείου συμβόλου ἀσπίδας, ἃς ὁ ἁγιώτατος Λέων, ὁ τὴν στολὴν τῆς ὀρθοδοξίας συγγράψας, ἀπὸ τῆς τετάρτης συνόδου προαναπεθησαύρισε, θείῳ κινούμενος πνεύματι, καὶ ἀναθέματι καθυπέβαλε τοὺς μέλλοντας μετακινῆσαι ἐκ τοῦ ἁγίου συμβόλου τὸ οἱονοῦν.

καὶ κατὰ πρόσωπον ταύτας τῆς ἐκκλησίας ἀναστηλοῖ, πρὸς τὸ ἀναγινώσκεσθαι ὑπὸ πάντων. ἀλλὰ δὴ καὶ ἑλληνιστὶ εἰς ἅπασαν ἐκκλησίαν, τελοῦσαν ὑπὸ τὴν Ῥώμην, κελεύει ἀναγινώσκεσθαι, καὶ μετὰ μέλους τὸ ἅγιον σύμβολον. Ὁ δέ γε μετ' αὐτὸν ἀρχιερατεύσας θεῖος Βενέδικτος, εἰς πάντα τὰ πατριαρχεῖα ἐπιστέλλει, μὴ δέξασθαι πάπαν τῆς Ῥώμης εἰς κοινωνίαν, πρὶν ἂν τὴν ἑαυτοῦ ὁμολογίαν ὀρθόδοξον κομίσῃ, πρὸς πᾶσαν τὴν τοῦ Χριστοῦ ἐκκλησίαν. Ὁ δέ γε Ἰωάννης ὁ ἁγιώτατος πάπας, ὕστερον μετὰ χρόνους τριάκοντα, ἀρχιερεῖς τε καὶ κληρικοὺς λόγῳ καὶ ἀρετῇ κεκοσμημένους, ἐκπέμπει πρὸς τὸν ἁγιώτατον Κωνσταντινουπόλεως Φώτιον, σύνοδον ἐξαιτῶν κατὰ τῶν τοιούτων αἱρέσεων συγκροτῆσαι, ὅθεν καὶ γέγονε, καὶ ἀναθέματι καθυπέβαλον τοὺς δογματίζοντας καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ τοὺς ἄζυμα εἰς θυσίαν προσφέροντας, καὶ τοὺς τὰς λοιπὰς τούτων αἱρέσεις κρατύνοντας. καὶ λαβόντες τὰ πρακτικὰ τῆς ἁγίας ταύτης συνόδου, ἀπεκόμισαν πρὸς τὸν πάπαν, κἀκεῖνος εἰς πᾶσαν αὐτοῦ τὴν ἐπικράτειαν ἀνεγίνωσκε ταῦτα, καὶ ἀπήλαυνε τοὺς τοιούτους αἱρετικούς. καὶ γὰρ περιφανὴς καὶ μεγίστη ἡ τοιαύτη σύνοδος γέγονεν, ἐκ διῳκησάντων τῶν τριῶν πατριαρχῶν, ὅθεν καὶ τὰ πρακτικὰ ταύτης σώζονται, καὶ κατέχονται, ὑπὸ τῶν χριστιανῶν, ὅθεν καὶ ἐκ Ῥώμης τῶν τοιούτων αἱρέσεων οἱ ἐργάται ἐκδιοχθέντες, ᾤχοντο πρὸς τοὺς Βουλγάρους: καὶ διεσπάσαντο ἂν τούτους τῆς Εὐσεβείας, νεοπαγεῖς ὄντας ἔτι ἄρτι τῇ πίστει, εἰ μὴ ὁ τῆς Εὐσεβείας βοηθὸς Φώτιος ὁ θειότατος, δύο καθολικὰς ἐπιστολὰς πρὸς πᾶσαν πέπομφε τὴν ὑφήλιον, στηλιτεύων ἅμα καὶ διελέγχων, τὴν τούτων ἄθεον αἵρεσιν. αἳ καὶ τοῖς Βουλγάροις ἀπεκομίσθησαν. κἀκ τούτων διέπλυσαν τὰς φθοροποιοὺς καὶ Θεοῦ ἀφιστώσας τούτων αἱρέσεις, καὶ τῶν ἑαυτῶν ὁρίων τοὺς τῆς ἀνομίας ἐργάτας, καὶ τοὺς ἀντιχρίστου προδρόμους, ἀπήλασαν, ἀλλ' οὐ τὴν ἐκκλησίαν ἀφ' ἡμῶν τῆς Ῥώμης διὰ τῶν ἐπιστολῶν τούτων διέτεμεν ὁ θειότατος Φώτιος, ὡς οἱ τῆς Εὐσεβείας συνήγοροι διατείνονται, εὐσεβεστάτης οὔσης, τῷ τότε, καὶ τῆς θειοτάτης συνόδου συγκροτηθείσης σπουδῇ τε καὶ συναινέσει τοῦ θειοτάτου Ἰωάννου τοῦ πάπα· ἀλλ' οὔγε καὶ ἐπὶ πλέον

Σημ.

μᾶλλον

μᾶλλον συνέδησε καὶ ἐστήριξε, καὶ τοὺς κακοὺς προσέχειν ἐργάτας παρῄνει, κἂν ὕστερον μετὰ παραδρομὴν πλείστων ἐτῶν, ἐκλάπη καὶ κατετυραννήθη ὑπὸ τῆς τοιαύτης αἱρέσεως. μετὰ γὰρ παραδρομὴν ὡς ἐτῶν ὀγδοήκοντα, ἀπὸ τῆς τοῦ θειοτάτου πάπα τοῦ Ἰωάννου κοιμήσεως, Φόρμοσος τὶς τὴν ἐπωνυμίαν, μαίευμα τῆς τοιαύτης αἱρέσεως, δόλιος ὢν τὸν τρόπον, δολίως ὑποκρινόμενος τὴν Εὐσέβειαν, δολίως καὶ τῆς ἐκκλησίας ταύτης ἐπέβη· καὶ γὰρ τῇ συνήθει ὑποκρίσει καὶ δολιότητι οὗτος ἀεὶ χρώμενος, οὐδαμῶς ἀκμὴν ὅλως ἠγάπα τὶ τῶν τῆς Εὐσεβείας μετακινῆσαι δογμάτων, ἢ τὴν ἑαυτοῦ δόξαν εἰς τοὐμφανὲς ἀγαγεῖν, ὑφορώμενος θάνατον, μόνον δὲ τοὺς τῆς αἱρέσεως ταύτης ἐργάτας παρῄνει, τὴν Εὐσέβειαν ὑποκρίνεσθαι, καὶ τούτους τῇ ἐκκλησίᾳ ἔσπευδεν ἐμφυτεύειν, καὶ τὰ μείζονα τούτοις ἀξιώματα ἐγχειρίζειν. Ἔκτοτε γοῦν καὶ εἰς τὸ ἑξῆς, αἱρεσιῶται κατὰ διαδοχὴν εἰς τὸν τοιοῦτον θρόνον ἀνήγοντο, καὶ τῇ ὑποκρίσει τῆς Εὐσεβείας χρώμενοι, κρυφίως τὴν ἑαυτῶν ἐδίδασκον αἵρεσιν, οὐδαμῶς ὅλως τολμῶντες μετακινῆσαί τι τῶν τῆς ἐκκλησίας δογμάτων τε καὶ πραγμάτων. μέχρι καὶ ὀγδόου κατὰ διαδοχὴν ἀπὸ Φορμόσου αἱρεσιάρχου, ἕτεροι (Χειστοφόρον τε φημὶ καὶ Σέργιον) οἳ καὶ ἐν τοῖς χρόνοις ὑπῆρχον κῦρ Βασιλείου τοῦ βουλγαροκτόνου, τοῦ τὴν βασιλείαν καλῶς ἰθύναντος ἐν Κωνσταντίνου πόλει. τοὺς δὲ ἀρχιερατικοὺς οἴακας Σεργίου τοῦ θειοτάτου τοῦ κατὰ διάμετρον φερομένου, εὐσεβείᾳ καὶ ἁγιότητι. τοῦ δὲ προρρηθέντος Σεργίου φημί, καὶ τοῦ Χειστοφόρου, ἔτους δὲ τῷ ἀπὸ κτίσεως, ἑξάκις χιλιοστοῦ. οὗτος οὖν ὁ κατάρατος Χειστοφόρος εἰδώς, καὶ μετ' αὐτὸν ὁ συνεργάτης αὐτῷ Σέργιος, τὴν τοιαύτην τῆς αἱρέσεως λύμην περιεκρατήσαντο, ἅπαν τῆς κατ' αὐτοὺς ἐκκλησίας τὸ πλήρωμα, καὶ μηδένα κίνδυνον ὑφορώμενοι, καταστρέφουσι καὶ πρακτικῶς τὴν Εὐσέβειαν, τὸ θεῖον φημὶ τῆς ὀρθοδόξου πίστεως σύμβολον, τὴν ἁγίαν καὶ ἱερὰν θυσίαν, καὶ τὰς λοιπὰς τῆς ὀρθοδόξου πίστεως παραδόσεις· ἐκτιθέντες δὲ τὴν καθ' αὐτοὺς αἵρεσιν ἅπασαν ἐμφανῶς, μηδὲν δεδιότες. εἶτα μανθάνει ταῦτα ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως Σέργιος, στέλλει γράφας, στέλλει πρέσβεις, ἀνακαλούμενος αὐτοὺς εἰς τὴν προτέραν ὡς δῆ-

Φόρμοσος.

Χειστοφορ. Σέργιος.

6000.

θεν

θεν εὐσέβειαν. οἱ δὲ ἀποκρύονται, ἀποστρέφονται, μυκτηρίζουσι, κενοὺς ἀποπέμπουσι τοὺς σταλέντας. εἶτα μανθάνει ταῦτα ὁ πατριάρχης, καὶ τῆς τῶν ἱερῶν καὶ θείων διπτύχων ἐξωθεῖται τούτους ἀναφορᾶς, διὰ τὸ ἀνακεκαλυμμένως αὐτοὺς ἀνακηρύττειν τὴν ἑαυτῶν αἵρεσιν, καὶ μὴ θέλοντας ἀπαντῆσαι εἰς σύνοδον. οὕτω σοι παρεδηλώσαμεν ἐν συντόμῳ διὰ τίνος, καὶ πῶς, καὶ πότε, ἡ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας γέγονεν ἔκπτωσις.

Ὁ ΛΑΤΙΝΟΣ.

Μιχαὴλ. Ἀλλ' ἡμεῖς τὸν κηρουλάριον Μιχαὴλ ὕστερον ὄντα, ἐπὶ τῆς βασιλείας τοῦ μονομάχου, φαμὲν ἐξῶσαι τὸν πάπαν τῆς ἀναφορᾶς τῶν διπτύχων, διὰ τὸ ἱμείρεσθαι αὐτὸν ἐμβαλεῖν τὰ κοκκοβαφῆ πέδιλα, καὶ κωλυόμενον ὑπὸ τοῦ πάπα τῆς Ῥώμης, ὡς αὐτοῦ μόνου ἔχοντος ἐξουσίαν, ἐγκαλωπίζεσθαι τούτοις, καὶ μὴ τοῖς ἄλλοις τῶν πατριαρχῶν ἐξεῖναι τοῦτο ποιεῖν.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ὄντως ἀνοήτου ψυχῆς, τὸ λέγειν ταῦτα. τίς γὰρ ὅλως τῶν τοῦ Χριστοῦ ἱερῶν, ἐμμένων τῇ εὐσεβείᾳ, καὶ τοῖς αὐτοῦ ἴχνεσιν ἐπακολουθῶν, ἔμελλεν οὕτως ἐκστῆναι τῶν οἰκείων φρενῶν, ὡς ἐπιλήσμονα τοῦτον γενέσθαι τοῦ ἀφομοιώματος τοῦ Χριστοῦ, καὶ τοῦ μεγίστου ἀξιώματος τῆς Ἱεροσύνης, ὃ καὶ τῶν ἁγίων ἀγγέλων ἐστὶν ὑπέρτερον, ἱμείρεσθαι ἐρυθροβαφέσι δέρμασιν ἀλόγων ζώων ἐγκαλοπίζεσθαι; εἰ μὲν οὖν ὁ Χριστὸς τοιούτοις ἐτέρπετο, καὶ τοιαῦτα τοῖς ἑαυτοῦ μαθηταῖς ἀξιώματα κατεμέριζε καὶ ἐδίδασκεν, ἴσως ἂν εἶχον καὶ οἱ τοῖς ἴχνεσι τοῦ Χριστοῦ ἐπακολουθοῦντες, περὶ τοιούτων ἔχειν τὴν μέριμναν, καὶ τὴν ἄλογον καὶ κοσμικὴν φαντασίαν διώκειν, καταλείψαντες τὴν ἁγίαν πρέπουσαν μετριότητα καὶ ταπείνωσιν. ἐπεὶ δ' ὁ Χριστὸς λιτότητα βίου νενομοθέτηκε, καὶ ταύτης ὑπογραμμὸς αὐτὸς γέγονεν τοῖς ἀγαπηκόσιν αὐτόν. πῶς ὁ Χριστὸν μόνον ἀντὶ πάντων ἑλόμενος ἔχειν, ἀσκητικώτατος Μιχαὴλ καὶ τοῦ Θεοῦ ἱεράρχης, ὁ τῆς ταπεινοφροσύνης ὑπογραμμὸς καὶ διδάσκαλος, ἔμελλε τῆς κοσμικῆς, μᾶλλον δὲ τοῖς ἐθνικοῖς καὶ ἀλόγου, ἀντι ποιεῖσθαι μανίας; μανία γὰρ σαφής, Ἱερέα ὄντα Χριστοῦ, τοιούτοις ἱμείρεσθαι. Ὅτι δὲ οὐ τοιούτων ἦν ἐραστὴς ὁ θεῖος

ἐκεῖνος

ἐκεῖνος ἀνὴρ, οὐ δὲ τὸ τοῦ Ἰταλοῦ πάπα μνημόσυνον, τῶν ἱερῶν διπτύχων πρῶτος ἀπέτεμεν, ἀλλ' ὁ προρρηθεὶς ἁγιώτατος Σέργιος πρὸ ἑαυτοῦ, μαρτυρεῖ καὶ ὁ θειότατος πατριάρχης Πέτρος Ἀντιοχείας, γράφων, πρὸς τὸν αὐτὸν Κωνσταντινουπόλεως θειότατον Μιχαὴλ, τεσσαράκοντα καὶ ὀκτὼ χρόνους διεληλυθέναι γινώσκειν, ἀφ' οὗ τὸ τοῦ πάπα ἐξεκόπη μνημόσυνον.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Τί δὲ οὐ δὲ τὸν Φώτιον λέγεις, διασχίσαι ἀφ' ὑμῶν τὴν Ἐκκλησίαν τῆς Ῥώμης, ὃς πλεῖστα γεγραφὼς εὑρίσκεται κατ' αὐτῆς, καὶ τῆς αὐτῆς πίστεως;

Ὁ ὈΡΘΌΔΟΞΟΣ.

Οὐ δαμῶς ἔχεις δεῖξαι ὦ οὗτος, τὸν θειότατον Φώτιον, ὅλως κατὰ τῆς Ἐκκλησίας τῆς Ῥώμης γεγραφότα, καὶ ταύτην ὡς φῂς ἐξ ἡμῶν διασχίσαντα. εἰ γὰρ τοῦτο, πῶς καὶ τὸν Κηρουλάριον φῂς Μιχαὴλ μετὰ τοσούτους χρόνους ὄντα (καὶ γάρ που διακοσιοστὸν ἔτος παρῆλθε μέσον Φωτίου, καὶ Μιχαὴλ, τῶν ἀοιδίμων πατριαρχῶν) τὴν ἀναφορὰν ἐκ τῶν ἱερῶν διπτύχων ἐξῶσαι τοῦ πάπα; πῶς δὲ καὶ τὰ πρακτικὰ τῆς κατὰ τὸν Φώτιον συνόδου, οἱ τοῦ ἀοιδίμου Ἰωάννου τοῦ πάπα πρέσβεις ἀπεκόμισαν πρὸς τὴν Ῥώμην, ἀναθεματίσαντες καὶ αὐτοὶ, τὴν τοιαύτην τῶν Ἰταλῶν αἵρεσιν, παρόντες κατὰ τὴν αὐτὴν ἁγίαν σύνοδον, ὡς καὶ ἄνωθεν ἔφημεν; γράφει μὲν ὁ θειότατος Φώτιος, ἀλλὰ κατὰ τῆς τοιαύτης Ἰταλικῆς αἱρέσεως, ἀκμὴν μήπω κεκρατηκυίας τῷ τότε τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἐντυχεῖν δηλωθήσονται.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Οὐκοῦν ἐάσας τὰ πάλαι ἱστορηθέντα, καὶ ὁμοῦ λέγειν τὰ πάντα, φράσον ἡμῖν ἔτι περὶ τῆς τοῦ πνεύματος ἐκπορεύσεως, ὕστερον δὲ καθεξῆς καὶ περὶ τῶν ἀζύμων, καὶ τῶν ἄλλων ὡς φῂς αἰτιαμάτων τε καὶ σφαλμάτων, ὡς ἐνὸν ἐξετάσωμεν. Τί γάρ ἐστι τὸ παρακολουθοῦν ἡμῖν ἄτοπόν τε καὶ βλάσφημον, ἐκ τοῦ λέγειν ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ πατρὸς καὶ υἱοῦ; βούλομαι τοῦτο μαθεῖν ἐξ ὑμῶν. ἐγὼ μὲν οὐ δὲν συνορῶ ἄτοπον, οὔτε μὴν

βλάσφημον, ἐκ τοῦ λέγειν ἐξ ἀμφοῖν ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Οὕτως οὐχ ἓν μόνον, ἀλλὰ καὶ λίαν πλεῖστα, τὰ ἐκ τούτου συναγόμενα ἄτοπα. καὶ πρῶτον μὲν, τὸ λέγειν, δύο τοῦ παναγίου πνεύματος εἶναι τὰ τῆς τούτου ὑπάρξεως αἴτια.

Ὁ ΛΑΤΙΝΟΣ.

Οὐ δαμῶς, στῆθι· ἀλλὰ καὶ ἀναθέματι καθυποβάλλομεν, τοὺς φάσκοντας δύο εἶναι τὰ τοῦ πνεύματος αἴτια.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Οὐκοῦν ἐρωτῶ, σὺ δέ μοι συνετῶς ἀποκρίθητι.

ΚΕΦΑΛΑΙΟΝ α.

ΤΟ ἐκπορευτικὸν, φυσικὸν ἰδίωμα εἶναι φατὲ, ἢ ὑποστατικόν; εἰ μὲν οὖν φυσικὸν, κοινὸν τοῦτο πάντως πάσῃ τῇ τῆς θεότητος φύσει· (κοινὰ γὰρ τῇ φύσει τὰ φυσικὰ) οὐκοῦν καὶ τοῦ παναγίου πνεύματος, μετὰ πατρὸς καὶ υἱοῦ, ἴδιον ἔσται τὸ ἐκπορευτικὸν αἴτιον, ὅτι καὶ τῆς αὐτῆς φύσεως. καὶ δότε ἡμῖν τὸ ἐκ τῆς θείας φύσεως ἐκπορευόμενον ἑτεροφυὲς πνεῦμα, εἰ δὲ κἀκεῖνο τῆς αὐτῆς ἐστὶ θείας φύσεως, πάντως καὶ τὸ ἐκπορευτικὸν αἴτιον, κἀκείνου ἴδιον ἔσται μετὰ τῶν λοιπῶν αὐτῷ ὁμοφυῶν ὑποστάσεων, καὶ τοῦτο ἐπ' ἄπειρον. εἰ δὲ ὑποστατικὸν ἰδίωμα εἶναι φατὲ τὸ ἐκπορευτικὸν αἴτιον, ἢ τῷ πατρὶ μόνῳ προσαρμοστέον, ἢ τῷ υἱῷ. ἀλλ' εἰ μὲν τῷ πατρὶ μόνῳ, οὐκ ἔσται τοῦτο πάντως καὶ τοῦ υἱοῦ, καὶ ψεύδεσθε ὑμεῖς φάσκοντες καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἀληθεύει δὲ ἡ παραδοθεῖσα τῆς πίστεως ἡμῖν ὁμολογία, λέγουσα ἐκ πατρὸς μόνου ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, μὴ λέγουσα δὲ καὶ ἐκ τοῦ υἱοῦ. εἰ δὲ τῷ υἱῷ φατὲ δεῖν προσαρμόζεσθαι τὸ ἐκπορευτικὸν αἴτιον, δότε ἡμῖν πόθεν εἰλήφατε τὴν καινὴν ταύτην τῆς πίστεως ὁμολογίαν, ἐκ ποίων Εὐαγγελίων, ἐκ ποίων ἀποστολικῶν παραδόσεων, ἐκ ποίων πατριαρχῶν τε καὶ συνοδικῶν βιβλίων;

Ὁ ΛΑ-

Ο ΛΑΤΙΝΟΣ.

Οὐκοῦν καὶ αὐτὸς ἐξ ἀντικειμένου καταλλήλως λαμβάνων τὸν λόγον, ἀντερωτῶ, καὶ πάντως ἐκ τῆς σῆς ἀποκρίσεως, καὶ τὴν τοῦ προκειμένου προβλήματος ποιήσομαι τὴν ἐπίλυσιν. τὸ αἰτιατὸν, φυσικὸν ἰδίωμα εἶναι φῆς, ἢ ὑποστατικόν; εἰ μὲν οὖν φυσικὸν, κοινὸν τοῦτο καὶ ταῖς τρισὶν ὑποστάσεσιν· εἰ δὲ ὑποστατικὸν, μιᾶς πάντως ὑποστάσεως τοῦτο ἐλεῖται, καὶ οὐ τῶν δύο, κατὰ τὸ σὸν δίλημμα, καὶ ἄμεσον πρόβλημα, ὃν οὖν λόγον δώσεις αὐτὸς πρὸς τὴν ἐμὴν ἐρώτησιν, τὸν αὐτὸν λόγον ἀνταποκρινοῦμαί σοι κἀγώ.

ΚΕΦΑΛΑΙΟΝ β.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλὰ συγκεχυμένως ὦ οὗτος, καὶ οὐ καταλλήλως τῇ ἐμῇ ἐρωτήσει ἐποιήσω τὸν ἐξ ἀντικειμένου λόγον, ἀντερωτήσας οὑτωσί, ἢ αἰτιατὸν μόνον, καὶ μὴ προσθεὶς, τὸ ἐκπορευτόν. εἰ οὖν ὀρθῶς καὶ καταλλήλως ἐβούλου ποιήσασθαι τὴν ἐξ ἀντικειμένου ἐρώτησιν, ἔδει σε διαστεῖλαι τὸ αἰτιατὸν, καὶ οὑτωσί πως ἀντερωτῆσαι, τὸ ἐκπορευτὸν αἰτιατὸν, φυσικὸν ἰδίωμα εἶναι, ἢ ὑποστατικόν; καὶ ἤκουες ἂν εὐθέως τὴν ἀπόκρισιν, ὅτι ὑποστατικὸν ἰδίωμα, καὶ μόνῳ τῷ παναγίῳ πνεύματι προσαρμοζόμενον, ὅτι καὶ αὐτὸς τὸ ἐκπορευτικὸν αἴτιον ἠρώμην, καὶ οὐ τὸ αἴτιον μόνον. πλὴν ἀλλὰ καὶ οὕτως ἄκουε, τῆς σῆς πεύσεως τὴν ἀπόκρισιν. ὑποστατικὸν ἰδίωμα φαμὲν εἶναι τὸ αἰτιατὸν, ἑτεροτρόπως δέ. ὁ μὲν υἱὸς, αἰτιατὸν, ἀλλὰ γεννητῶς. τὸ δὲ πνεῦμα τὸ ἅγιον, αἰτιατὸν μὲν καὶ αὐτὸ, ἀλλ' ἐκπορευτῶς.

Ο ΛΑΤΙΝΟΣ.

Οὐκοῦν καὶ αὐτὸς καταλλήλως, τὸν αὐτὸν ἀνταποκρίνομαί σοι λόγον, καὶ πρὸς τὴν σὴν πεῦσιν, ὅτι ὑποστατικὸν ἰδίωμα εἶναι φαμὲν τὸ ἐκπορευτικὸν αἴτιον, ἑτεροτρόπως δέ. ὁ μὲν υἱὸς ἐκπορευτικὸν αἴτιον τοῦ πνεύματος, ἀλλ' ἀμέσως καὶ προσεχῶς· ὁ δὲ πατὴρ, καὶ αὐτὸς μὲν ἐκπορευ-

τικὸν αἴτιον τοῦ αὐτοῦ πνεύματος, ἀλλ᾽ οὐκ ἀμέσως, καὶ πόῤῥω, καὶ οὐ προσεχῶς.

ΚΕΦΑΛΑΙΟΝ γ.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Οὐκοῦν δύο ἀριδήλως αὐτὸς ὁμολογεῖς τὰ αἴτια τοῦ παναγίου πνεύματος, ὥσπερ δῆτα καὶ ἡμεῖς, δύο φαμὲν εἶναι τὰ αἰτιατά, ἐπεὶ καὶ τὴν ἐμὴν ὡς ἀπόκρισιν καὶ αὐτὸς εἰληφὼς δέδωκας, πρὸς τὴν παρὰ σοὶ γενομένην ἐρώτησιν· καὶ πρὸς τούτῳ, καὶ δύο φῂς, εἶναι τοὺς τῆς ὑπάρξεως αὐτῷ τρόπους· ἤγουν δύο τὰς ἐκπορεύσεις τοῦ παναγίου πνεύματος· τὴν μὲν προσεχῶς, τε καὶ ἀμέσως, τὴν δὲ οὐκ ἀμέσως, καὶ πόῤῥω, καὶ οὐ προσεχῶς. ὁρᾷς πῶς ὁμολογεῖς δύο τὰ αἴτια, καὶ δύο τὰς ἐκπορεύσεις, ὅπερ καὶ ὡς ἄτοπον, ἀναθέματι καθυπέβαλες, τοὺς δύο λέγοντας εἶναι τὰ αἴτια τοῦ παναγίου πνεύματος; εἰ δὲ τοῦτο ἄτοπον, ὥσπερ δῆτα καὶ ἐστὶν, οὐκ ἄρα χρὴ λέγειν ἐκ πατρὸς υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ᾽ ὥσπερ ὁ Χριστὸς παραδέδωκεν, ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι μόνον, οὐ μὴν δὲ καὶ ἐκ τοῦ υἱοῦ.

Ὁ ΛΑΤΙΝΟΣ.

Συνήγαγες ἡμᾶς ὡς ἐβούλου ὦ οὗτος, καὶ οὐκ ἔχω τί πρὸς ταῦτα σοι φθέγξασθαι· πλὴν ἓν αἴτιον φασὶ τὸν πατέρα, καὶ τὸν υἱὸν εἶναι τοῦ πνεύματος· τάχα διὰ τὸ τὸν σωτῆρα λέγειν, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.

ΚΕΦΑΛΑΙΟΝ δ.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλὰ κἀν τούτῳ τὸ βλάσφημον ἐπακολουθεῖ· τὸ γὰρ λέγειν τὸν σωτῆρα Χριστὸν, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, οὐ τῷ αἰτίῳ τοῦτο φησὶν, ἀλλὰ τῇ φύσει καὶ τῇ θεότητι. εἷς γὰρ ἐστὶ Θεὸς, ἡ ἁγία Τριάς. καὶ μία ταύτης, ἡ φύσις. τὸ γὰρ ἓν τριχῶς εἶναι φασίν· ἢ γένει, ἢ εἴδει, ἢ ἀριθμῷ. οὐ μὴν δὲ καὶ τῷ αἰτίῳ· ὅτι τὸ αἴτιον ὑποστατικὸν ἐστὶν ἰδίωμα, καὶ οὐ φυσικόν. καὶ γὰρ μόνος ἐστὶν ὁ πατὴρ αἴτιος τοῦ, τε υἱοῦ καὶ τοῦ πνεύματος.

τὸ δὲ τινὸς ὑποστατικὸν ἰδίωμα, οὐ πάντως ἐστὶ κοινόν· πλὴν ἀποκείθητι, καὶ περὶ τοῦτο, καὶ ὄψει κἀν τούτῳ τὸ βλάσφημον περιφανές. πῶς φατὲ ἓν αἴτιον εἶναι τόν τε πατέρα καὶ τὸν υἱὸν τοῦ παναγίου πνεύματος, ἢ καθὸ Θεὸς, ἢ καθὸ πατήρ; εἰ μὲν οὖν καθὸ πατὴρ καὶ υἱὸς, οὐκ εἰσὶν ἕν, ἀλλὰ δύο. ἀπέστω γὰρ πόῤῥω ἡ Σαβελλίου ἄρεσις. οὐ δὲ γὰρ ταυτίζονται ταῦτα· μοναδικὰ γὰρ εἰσὶ, διενηνόχασι κατὰ τὴν σχέσιν ἀντιθετικῶς, ὡς τὰ πρός τι.

Ο ΛΑΤΙΝΟΣ.

Οὐ καθὸ πατὴρ καὶ υἱὸς φαμὲν εἶναι ἓν αἴτιον τοῦ πνεύματος, ἀλλὰ καθὸ Θεός· εἷς γὰρ ἐστὶ Θεὸς ὅ τε πατὴρ καὶ ὁ υἱὸς, καὶ οὐ δύο.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Τί δὲ οὐκ ἔστι τὸ πνεῦμα τὸ ἅγιον Θεός;

ΛΑΤΙΝΟΣ. καὶ πάνυ γε.

ΚΕΦΑΛΑΙΟΝ ε.

Ὅτι οἱ λέγοντες καθὸ Θεὸς, ἐστὶν ἓν αἴτιον ὁ πατὴρ καὶ ὁ υἱὸς, τοῦ παναγίου πνεύματος, κτίσμα τὸ πνεῦμα τὸ ἅγιον ὁμολογοῦσι.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Οὐκ οὖν εἰ Θεὸς, πάντως καὶ αἴτιον καθ' ὑμᾶς: εἰ δὲ μὴ αἴτιον, ὅρα ὅτι καὶ ἀλλοτριοῦται τῆς θεότητος τὸ πανάγιον πνεῦμα, μὴ λέγοντες καὶ αὐτὸ αἴτιον μετὰ πατρὸς καὶ υἱοῦ· εἰ γὰρ Θεὸς, πάντως καὶ αἴτιον, κατὰ σέ· εἰ δ' αἴτιον μὲν οὐκ ἔστιν, οὐδὲ Θεὸς πάντως. τὸ γὰρ λέγειν καθὸ Θεὸς εἶναι αἴτιος, πάσας ὁμοῦ τὰς τῆς θείας φύσεως ὑποστάσεις, αἴτιον εἶναι σημαίνει. ὅτι τὸ Θεὸς ὄνομα, οὐχ ὑποστατικόν: καὶ εἰ μία ἐξ αὐτῶν ὑπόστασις οὐκ ἔστιν αἴτιον, οὐδὲ Θεὸς πάντως ἐστίν. ὥσπερ καὶ τὸ λέγειν καθὸ ἄνθρωπος, πᾶσαν σημαίνει τὴν ἀνθρωπίαν φύσιν. οἷον ὁ Ἰωάννης, καθὸ ἄνθρωπος, ἔστι καὶ λογικός. οὐκοῦν καὶ πᾶς ἄνθρωπος λογικός. εἰ δὲ μὴ λογικὸς, οὐδὲ ἄνθρωπος πάντως. ὁρᾷς

ἐν τούτῳ τὸ βλάσφημον προφανές; καὶ ὅτι ἐν τῷ λέγειν ὑμᾶς ὁ πατὴρ, καὶ ὁ υἱὸς, καθὸ Θεὸς, ἐστὶν ἓν αἴτιον τοῦ παναγίου πνεύματος, ἀλλοτριοῦτε τοῦτο καὶ ἀποτέμνετε τῆς θεότητος. εἰ δὲ τοῦτο μὲν βλάσφημον, ὡς περ δῆτα καὶ ἐστίν· οὐκ ἄρα χρὴ λέγειν τὸν πατέρα καὶ τὸν υἱὸν, αἴτιον τοῦ παναγίου πνεύματος, οὐ δὲ ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ᾽ ἐκ τοῦ πατρὸς μόνου, ὡς ὁ Χριστὸς παρέδωκε, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία παρέλαβεν.

Ο῾ ΛΑΤΙ͂ΝΟΣ.

Ἀληθῶς γὰρ κἂν τούτῳ ἔφης. καὶ γὰρ ἐξ ἑκατέρου μορίου τῆς προτάσεως, συνάγεται καὶ τὸ ἄτοπον, καὶ οὐκ ἔχει τις ἀνταίρειν πῶς ἔσται ἓν αἴτιον ὅ, τε πατὴρ καὶ ὁ υἱὸς, εἴ, τε ὡς πατὴρ καὶ υἱὸς, εἴ, τε καὶ ὡς Θεός· πλὴν οὖν τοῦ μὴ λέγειν ἡμᾶς δύο τὰ τοῦ πνεύματος αἴτια ἐκ πατρὸς καὶ υἱοῦ πρεσβεύοντας ἐκπορεύεσθαι, ταῦτα σοι ἀποκρινοῦμαι, ἃ καὶ ἐκ τῶν διδασκάλων ἡμῶν μεμαθήκαμεν. Ἔστι μὲν φασὶν αἴτιος ὁ πατὴρ ἅμα καὶ ὁ υἱὸς τοῦ πνεύματος, ἀλλ᾽ εἷς πάντως καὶ οὐ δύο, καὶ τοῦτο ἂν ἴδοις σαφῶς ὧδε. καὶ γὰρ δημιουργός ἐστι καὶ λέγεται ὁ πατὴρ, δημιουργὸς καὶ ὁ υἱός· δημιουργὸς καὶ δημιουργὸς, ἀλλ᾽ εἷς πάντως δημιουργός. ὡς δὲ καὶ αἴτιος τοῦ παντὸς ἐστί τε καὶ λέγεται ὁ πατὴρ, αἴτιος καὶ ὁ υἱὸς, ἀλλ᾽ εἷς πάντως αἴτιος τοῦ παντὸς ὅ, τε πατὴρ καὶ ὁ υἱὸς, καὶ οὐ δύο· εἰ δὲ τοῦτο, τίς ἡ ἀποκλήρωσις, αἴτιον ὄντα τόν, τε πατέρα καὶ τὸν υἱὸν, ἅμα τοῦ πνεύματος, μὴ αἴτιον ἓν εἶναι λέγειν, ἀλλὰ καταμερίζειν τὴν μοναρχίαν εἰς δυαρχίαν, καὶ δύο φάσκειν τὰ τοῦ πνεύματος αἴτια, καὶ τὰς ἀρχάς; ἐστὶ μὲν δημιουργὸς, καὶ δημιουργὸς, ἀλλ᾽ εἷς πάντως αἴτιος τοῦ παντὸς, καὶ οὐ δύο. οὕτω δηλονότι καὶ ἐπὶ τῆς τοῦ πνεύματος ὑπάρξεως, δεῖ ἐκλαμβάνειν τὸν λόγον, καὶ μὴ κατατέμνειν τὸ ἓν αἴτιον εἰς δυαρχίαν.

Ο῾ ΟΡΘΟ΄ΔΟΞΟΣ.

Τί οὖν, δημιούργημα ὁμολογεῖτε τὸ πνεῦμα τὸ ἅγιον;

Ο῾ ΛΑΤΙ͂ΝΟΣ.

Οὐδαμῶς.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Τί οὖν ταῦτα λέγοντες, οὐκ αἰσθάνεσθε δημιούργημα ὁμολογεῖν τὸ πνεῦμα τὸ ἅγιον; καὶ αὐτῶν τῶν ζώων ἀλόγων ἐστὲ ἀλογώτεροι. τὸ γὰρ λέγειν δημιουργὸν τὸν πατέρα, καὶ τὸν υἱὸν, παρυποκρύπτειν τοῦ δημιουργεῖν τὸ πνεῦμα τὸ ἅγιον, τοῖς δημιουργήμασι τοῦτο συνάπτειν ἐστίν. εἰ μὴ γὰρ δημιουργὸς, δημιούργημα πάντως ἐστί. μέσον γὰρ τούτων, οὐδέν. οὐκ οὖν λέγοντες αἴτιον τοῦ παντὸς τὸν υἱὸν, αἴτιον τοῦ παντὸς, κἂν μὴ βούλησθε, τὸ πνεῦμα τὸ ἅγιον. καὶ αὖ εἰς ἓν ὁμοῦ τὰ τρία συνάγοντες αἴτια, φυσικὸν εἶναι τοῦτο φατὲ τὸ αἴτιον ἰδίωμα, ὡς κοινὸν τῆς θείας φύσεως αὔχημα, διὰ τὸ ταυτὸν τῆς δυνάμεώς τε, καὶ ἐνεργείας, τῆς βουλήσεώς τε, καὶ τοῦ θελήματος, καὶ τῆς ἐξουσίας, ὑποστατικόν. ἔστι μὲν οὖν αἴτιον ἐν ἡ ἁγία Τριὰς, ὡς θεὸς εἷς, καὶ κύριος εἷς. ἀλλὰ δημιουργὸν τοῦτο πάντως ἐστί. διὸ καὶ φυσικὸν ἰδίωμα τυγχάνει. ἔστι δὲ καὶ μόνος ὁ πατὴρ αἴτιον, ἀλλ᾽ ὁμοφυῶν ὑποστάσεων, τοῦ υἱοῦ δηλονότι καὶ τοῦ πνεύματος· διὸ καὶ ὑποστατικὸν ἰδίωμα ἐστίν. εἰ οὖν ὑποστατικὸν ἰδίωμα φατέ τὸ ἐν τοῦ πνεύματος αἴτιον, μιᾶς πάντως ὑποστάσεως ἐδεῖται καὶ οὐ τῶν δύο. εἰ δὲ φυσικὸν, δημιουργικὸν πάντως τοῦτο ὁμολογεῖτε, καὶ δημιούργημα τὸ πνεῦμα τὸ ἅγιον· καὶ εἰ τὸ δημιουργικὸν αἴτιον, φυσικὸν ἰδίωμα τυγχάνει, ὅτι καὶ πασῶν τὸ ἐπίσης καὶ ταυτοτρόπως κατηγορούμενον τῶν ὑποστάσεων, καὶ εἰς ἓν συναγόμενον φυσικὸν, ἔστι καὶ τὸ ἐκπορευτικὸν αἴτιον, φυσικὸν ἰδίωμα, κατὰ σέ, ὥσπερ καὶ τὸ δημιουργικὸν, ὅτι καὶ τοῦτο ἐπίσης καὶ ταυτοτρόπως κατηγορεῖται πατρὸς καὶ υἱοῦ, κατὰ σέ, καὶ εἰς ἓν συνάγεται. οὐκ ἄρα τὸ ἐκπορευτὸν αἴτιον, τῆς αὐτῆς ἐκείνων ἐστὶ φύσεως. εἶπες, τὸ ἐκπορευτικὸν αἴτιον, φυσικὸν ἰδίωμα τυγχάνειν· ἔστι δὲ πάντως ταῦτα καὶ ἀντικείμενα τῇ φύσει, κατὰ σέ. καὶ οὕτως οὐ μόνον διαφόρους εἰσάγεις φύσεις ἐπὶ τῆς Ἰσοκλεοῦς καὶ ὑπερυμνήτου Τριάδος, ἀλλὰ καὶ ἀντικειμένας ἀλλήλαις. ὁρᾷς τὴν τῶν σῶν διδασκάλων θεολογίαν; εἰ δὲ ὑποστατικόν ἐστιν ἰδίωμα τὸ ἐκπορευτικὸν αἴτιον, ὥσπερ δῆτα καὶ ἐστί, πῶς δύναται τὸ αὐτὸ ἐπίσης καὶ ταυτοτρόπως, πλειόνων ὑποστάσεων κατηγορεῖσθαι, καὶ εἰς ἓν συνάγεσθαι; οἷον τὸ γεννητικὸν αἴτιον· οὐ δὲ γὰρ

δύναται

δυνάται τοῦτο πλειόνων ὑποστάσεων κατηγορεῖσθαι, ἀλλὰ μόνου τοῦ πατρός, ὅτι καὶ ὑποστατικὸν ἰδίωμα τυγχάνει, καὶ οὐ φυσικόν. οὕτω δηλονότι καὶ τὸ ἐκπορευτικὸν αἴτιον, ὑποστατικὸν ἰδίωμα ὑπάρχον, καὶ μόνου τοῦ πατρὸς κατηγορούμενον, οὐ δυνάται τὸ αὐτὸ κατηγορεῖσθαι καὶ πλειόνων.

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δὲ τὸ αἰτιατόν, οὐ λέγεις ὑποστατικὸν εἶναι ἰδίωμα; ἐπίσης δὲ καὶ ταυτοτρόπως κατηγορούμενον πλειόνων, τοῦ υἱοῦ δηλονότι καὶ τοῦ πνεύματος;

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ὑποστατικὸν μὲν ἐστὶν ἰδίωμα τὸ αἰτιατόν, ἐπίσης κατηγορούμενον υἱοῦ καὶ πνεύματος. καὶ γὰρ ἅμα καὶ προσεχῶς καὶ ὁμοτίμως ἄμφω ἐκ πατρός, καὶ οὐ μᾶλλον ἢ ἧττον αἰτιατὸν ἕτερον ἑτέρου, οὐχὶ δὲ καὶ ταυτοτρόπως κατηγορεῖται υἱοῦ καὶ πνεύματος, ἀλλὰ τοῦ μὲν υἱοῦ, γεννητῶς, τοῦ δὲ πνεύματος, ἐκπορευτῶς. διὸ οὐ δὲ εἰς ἓν συνάγονται αἰτιατόν, ἀλλὰ δύο φαμὲν εἶναι τὰ αἰτιατά, διότι παρ' ἑκάτερον ἑτεροτρόπως αἰτιατόν, εἰ καὶ ἐπίσης αἰτιατὰ ὡς ἔφημεν. οὐκ οὖν δύο δυσσεβειῶν προκειμένων, ἑλοῦ ὁποτέραν βούλῃ ὦ κενὲ θεολόγε. εἰ φυσικὸν ἰδίωμα λέγων τὸ ἐκπορευτικὸν αἴτιον, ἐπίσης καὶ ταυτοτρόπως κατηγορούμενον πατρὸς καὶ υἱοῦ, καὶ εἰς ἓν συναγόμενον, τοῦ δὲ πνεύματος ἀποφασκόμενον, ὁμολόγει καθαρῶς καὶ ἀλλοτρίας εἶναι φύσεως τοῦτο, ἐν δευτέρῳ συλλογιζόμενος σχήματι. ἢ ὑποστατικὸν ἰδίωμα τὸ ἐκπορευτικὸν αἴτιον, λέγων μὲν κατηγορούμενον πατρὸς καὶ υἱοῦ, μὴ ταυτοτρόπως δέ, μηδὲ ἓν συναγόμενον, ὥσπερ καὶ τὸ αἰτιατὸν υἱοῦ καὶ πνεύματος, καὶ μὴ ἀπαρνοῦ δύο καθαρῶς λέγειν τὰ αἴτια, ἵν' ᾖ τὸ θεῖον ἀναγόμενον εἰς δυαρχίαν, τεμνομένης τῆς μοναρχίας. εἰ δὲ δεῖ ἐν ὅροις μένειν τῆς Εὐσεβείας, καὶ μὴ περιπίπτειν εἰς ἀνοδίας καὶ βάραθρα, ὁμολόγει μὲν τὸ ἐκπορευτικὸν αἴτιον, ὑποστατικὸν ἰδίωμα, καὶ μόνου τοῦ πατρὸς κατηγορούμενον, καὶ αὐτῷ μόνῳ προσαρμοστέον. τὸ δ' αὖ αἰτιατόν, υἱοῦ καὶ πνεύματος ἐπίσης κατηγορούμενον, οὐ μὴν δὲ καὶ ταυτοτρόπως, οὐ δὲ εἰς ἓν συναγόμενον, ἀλλ' ἑτεροτρόπως. τοῦ μὲν υἱοῦ, γεννητῶς. τοῦ δὲ πνεύματος, ἐκπορευτῶς· καὶ οὕτω πιστεύων, ὄψει καθαρῶς τὸ

τὸ φέγγος τῆς ἀληθείας, ἐκφυγὼν τὴν ἀσέβειαν.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀληθῶς ὄντως ἔφης, καὶ οὐδεὶς ἀνταίρει λόγος πρὸς ταῦτα. πλὴν τοῦτό μοι φράσον, ὃ καὶ βούλομαι μαθεῖν ἐξ ὑμῶν: οὐκ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ τὸ πνεῦμα τὸ ἅγιον; τοῦτο γὰρ πάντες οἱ θεῖοι πατέρες ὁμολογοῦσιν, ἐκ τῆς οὐσίας εἶναι λέγοντες τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. εἰ μὲν ἐκ τῆς οὐσίας ἐστὶ τοῦ υἱοῦ, πάντως καὶ ἐκ τοῦ υἱοῦ χρὴ λέγειν αὐτό. εἰ δὲ ἐκ τοῦ υἱοῦ οὐκ ἔστιν, οὐδὲ ἐκ τῆς οὐσίας ὅλως εἶναι χρὴ λέγειν αὐτὸ τοῦ υἱοῦ.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Ὅτι τὸ λέγειν ἐκ τῆς οὐσίας τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, οὐ τὸ αἴτιον σημαίνει, ἀλλὰ τὸ ὁμοούσιον.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ' οὐ περὶ τούτου ὦ οὗτος, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον. ἢ πῶς ἐκλαμβάνετε τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον; ἀντὶ τοῦ αὐτῆς τῷ υἱῷ οὐσίας, καὶ ὁμοούσιον τῷ υἱῷ; ἢ ἀντὶ τοῦ αὐτῆς ὑποστάσεως τοῦ υἱοῦ ἔχειν τὴν ὕπαρξιν; εἰ μὲν οὖν ἀντὶ τῆς αὐτῆς τῷ υἱῷ οὐσίας, καὶ ὁμοούσιον εἶναι τῷ υἱῷ, καλῶς καὶ ὀρθῶς ἐκλαμβάνετε τοῦτο. καὶ γὰρ οὕτω καὶ πάντες οἱ θεῖοι πατέρες παρέδωκαν, καὶ πᾶσαι αἱ ἅγιαι σύνοδοι. εἰ δ' ἀντὶ τοῦ ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ ἔχειν τὴν ὕπαρξιν τὸ πνεῦμα τὸ ἅγιον, κακῶς, καὶ πάνυ σφαλερῶς ἐκλαμβάνετε τοῦτο.

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δ', ἀνυπόστατός ἐστιν ἡ τοῦ υἱοῦ οὐσία, ἢ ἀνούσιος ἡ ὑπόστασις αὐτοῦ; ἡμεῖς γὰρ τὸ αὐτὸ φαμὲν εἶναι, τήν τε οὐσίαν τοῦ υἱοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ' ὦ οὗτος, οὔτε ἡ οὐσία τοῦ υἱοῦ ἀνυπόστατός ἐστιν, οὔτε ἡ ὑπόστασις αὐτοῦ, ἀνούσιος. πλὴν δεῖ συνετῶς, καὶ μετὰ πάσης ἀκριβείας ἐξετάζειν

τάζειν τὰ τῆς Ἐκκλησίας δόγματα, καὶ μὴ ἁπλῶς οὕτω καὶ ἀπερισκέπτως μετέρχεσθαι ταῦτα, καὶ ἐξ οἰκείας διανοίας φθέγγεσθαι περὶ τούτων. Ἴσθι δὲ, ὅτι ἄλλο ἐστὶ, τὸ λέγειν οὐσίαν τοῦ υἱοῦ, καὶ ἕτερον τὸ λέγειν τὴν ὑπόστασιν αὐτοῦ· τὸ γὰρ ταυτὸν λέγειν τήν τε οὐσίαν εἶναι τοῦ υἱοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ, βλάσφημον, καὶ τῆς ἀρειανῆς ἀπόζει βδελυρίας.

Ὁ ΛΑΤΙΝΟΣ.

Πῶς; φράσον· τοῦτο γὰρ ξένον ἡμῖν δοκεῖ.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ἡ ὑπόστασις τοῦ υἱοῦ, ἑτέρα ἐστὶ τῆς τοῦ πατρὸς ὑποστάσεως;

Ὁ ΛΑΤΙΝΟΣ.

Ἑτέρα πάντως, εἰ μὴ τὰ Σαβελλίου φρονοῦμεν.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Τί οὖν, εἰ ἡ οὐσία τοῦ υἱοῦ, ταυτόν ἐστι τῇ ὑποστάσει αὐτοῦ· ἔστι δὲ ἡ ὑπόστασις τοῦ υἱοῦ, ἑτέρα τῆς τοῦ πατρὸς ὑποστάσεως· καὶ ἡ οὐσία ἄρα τοῦ υἱοῦ, (κατὰ σὲ) ἑτέρα πάντως ἔσται τῆς τοῦ πατρὸς οὐσίας, καὶ οὐκ ἔστιν ὁ υἱὸς ὁμοούσιος τῷ πατρί. ὁρᾷς πῶς ἀπόζει ἀρειανικῆς βδελυρίας, τὸ λέγειν ταυτόν ἐστιν ἡ οὐσία τοῦ υἱοῦ καὶ ἡ ὑπόστασις αὐτοῦ;

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀλλ᾽ ἡμεῖς γε ὦ οὗτος, ἐκ τῆς ἰδίας καὶ μερικῆς τοῦ υἱοῦ οὐσίας, φαμὲν εἶναι τὸ πνεῦμα· ὅπερ ταυτόν ἐστι, τῷ λέγειν ἐκ τῆς ὑποστάσεως αὐτοῦ, καὶ οὐκ ἐκ τῆς κοινῆς καὶ καθόλου τῆς θεότητος οὐσίας.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Οὐκ οὖν τρεῖς οὐσίας μερικὰς δογματίζετε ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ μίαν κοινὴν καὶ καθόλου. ἀλλ᾽ ἴσθι ὅτι καὶ ἀναθέματι καθυποβάλλουσι τοὺς ταῦτα δοξάζοντας πᾶσαι αἱ ἅγιαι σύνοδοι, καὶ ἡ τοῦ Θεοῦ ἁγία Ἐκκλησία. καὶ τριθεΐτας τούτους ἀποκαλοῦσι, καὶ μαθητὰς τοῦ Ἀρείου. εἰ δὲ ταῦτα μὲν βλάσφημα, (ὡς δὲ καὶ ἔστιν) οὐκ ἄρα χρὴ λέγειν, τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, τὸ αἴτιον σημαίνειν, καὶ ἀντὶ τοῦ ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ νοεῖσθαι· ἀλλὰ μᾶλλον τὸ πρὸς τὸν υἱὸν ὁμοούσιον παριστάνειν, καὶ τὸ αἴτιον.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀληθῶς λέγεις· καὶ γὰρ οὐ δέχονται οἱ θεῖοι πατέρες τρεῖς ὅλως λέγειν οὐσίας μερικάς, καὶ μίαν κοινὴν καὶ καθόλου, ἐπὶ τῆς ἁγίας Τριάδος. πλὴν καὶ ἔτι ποθῶ μαθεῖν ἐξ ὑμῶν, ὃ γὰρ ἠρώμην καὶ πρότερον, ἔστιν οὐσία ἀνυπόστασις ἢ ὑπόστατος, ἀνούσιος;

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Οὐ δαμῶς, οὔτε οὐσία ἐστὶν ἀνυπόστατος, οὔτε ὑπόστασις ἐστὶν ἀνούσιος, καὶ πᾶσα ὑπόστασις, ἐνούσιος ἐστίν.

Ὁ ΛΑΤΙΝΟΣ.

Εἶτα, εἰ οὖν οὐκ ἔστιν οὐσία ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος ἐστὶν οὐσία πᾶσα, ἔστι δὲ τὸ πνεῦμα ἐκ τῆς τοῦ πατρὸς οὐσίας, ταὐτὸν δὲ εἰπεῖν, καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ, τίς ἡ ἀποκλήρωσις ἐκ τῆς οὐσίας τοῦ υἱοῦ λέγοντας τὸ πνεῦμα, μὴ καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ ὁμολογεῖν;

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Τίς; οὐκ ἔφημεν πᾶσα οὐσία ὑπόστασις ἐστίν, ἀλλὰ πᾶσα οὐσία ἐνυπόστατος ἐστίν. ἄλλο γάρ ἐστιν ὑπόστασις, καὶ ἄλλο τὸ κυρίως ἐνυπόστατον, καὶ πλεῖστον ἄμφω ταῦτα διαφέρουσιν, ὡς τὸ μὲν αὐτοτελὲς ὑπάρχον τῇ προσλήψει τῶν ἰδιωμάτων, τὸ δὲ ἐν τούτοις θεωρούμενον. ἔφημεν οὖν, οὐκ ἔστιν οὐσία ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος. οὐ μὴν οὐκ ἔστιν οὐσία ἀνυπόστατος, ἀλλ' ὑπόστασις. τοῦτο γὰρ σοφιστική ἐστιν ἀπάτη, τὸ αἰτεῖν τὸ ἐνυπόστατον, καὶ λαμβάνειν τὴν ὑπόστασιν.

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δέ; οὐκ ἔστι ταὐτὸν τὸ λέγειν ἐκ τῆς οὐσίας εἶναι τοῦ πατρός, τῷ ἐκ τῆς ὑποστάσεως αὐτοῦ;

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Οὐ δαμῶς· τὸ γὰρ ἐκ τῆς οὐσίας εἶναι λέγειν, τὸ ὁμοούσιον σημαίνει, καὶ μόνον, καὶ οὐ τὸ αἴτιον. ἐπεὶ διὰ τοῦτο οὐκ ἔστιν οὐσία οὐσίας αἰτία, ἵνα μὴ εἰς διαφόρους οὐσίας, ἡ μία οὐσία καταμερίζηται. καὶ ἵνα μὴ οὐσία ᾖ αἰτία, καὶ οὐσία αἰτιατή, καὶ ἀντικείμεναι ὡς τὰ πρός τι, ὅπερ ἐστὶν ἴδιον τῶν ὑποστάσεων. ὁ γὰρ πληθυσμὸς καὶ ἡ ἀντίθεσις, καὶ τὸ αἴτιον καὶ

τὸ αἰτιατὸν, καὶ τὸ ἀγέννητον καὶ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν τῶν ὑποστάσεων, οὐ τῶν οὐσιῶν τυγχάνει· διὸ οὐδὲ μερικὰς φαμὲν οὐσίας. τὸ δὲ ἐκ τῆς ὑποστάσεως, ταυτὸν δὲ εἰπεῖν, τὸ ἐκ πατρὸς, σὺν τῷ ὁμοουσίῳ, καὶ τὸ αἴτιον σημαίνει. ὡσαύτως καὶ ὅταν φῶμεν ἐκ τῆς οὐσίας τοῦ πατρὸς κατὰ τὴν ἰδιότητα, καὶ τότε τὸ τοῦ ὁμοουσίου αἴτιον σημαίνει, καὶ ἀντὶ τοῦ ἐκ πατρὸς καὶ τῆς ὑποστάσεως αὐτοῦ λαμβάνεται. διαφέρει γοῦν οὐσία καὶ ὑπόστασις, κατά τε τὸ κοινὸν καὶ καθόλου, καὶ μερικόν τε καὶ ἴδιον. διὸ καὶ Ὑπόστασις ἐστὶν, οὐσία μετὰ τῶν ἰδιοτήτων καθ' αὑτὸ ὑφεστηκεῖα.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Ἀλλ' ὑμεῖς γε, ὦ οὗτοι, ἐκ τῆς οὐσίας τοῦ υἱοῦ λέγοντες τὸ πνεῦμα, εἰ μὴ καὶ ἐκ τῆς ὑποστάσεως αὐτοῦ ὁμολογεῖν δοίητε, μερίζετε τῆς ὑποστάσεως τὴν οὐσίαν, καὶ ἔσονται (καθ' ὑμᾶς αὐτοὺς) τρία τὰ τοῦ πνεύματος αἴτια. ἡ τοῦ πατρὸς ὑπόστασις, ἡ τοῦ πατρὸς οὐσία, καὶ τρίτον αἴτιον, ἡ τοῦ υἱοῦ οὐσία. εἰ δὲ τοῦτο, κατὰ τί καὶ ἡμῖν δυαρχίαν ἐγκαλοῦντες, οὐ παύεσθε; εἰ δὲ ταυτὸ φατὲ τήν τε οὐσίαν καὶ τὴν ὑπόστασιν, ὥσπερ καὶ ἡμεῖς ὁμολογοῦμεν εὐσεβοῦντες, διατὶ ἐκ τῆς ὑποστάσεως τοῦ υἱοῦ οὐχ ὁμολογεῖτε τὸ πνεῦμα;

Ὁ ὈΡΘΟ´ΔΟΞΟΣ.

Τὶ οὖν· δύο καὶ διαφόρους αὐτοὶ ὁμολογεῖτε οὐσίας, ἐπί τε πατρὸς καὶ υἱοῦ;

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Οὐδαμῶς· μία γὰρ ἐστὶ καὶ ἡ αὐτὴ οὐσία πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος.

Ὁ ὈΡΘΟ´ΔΟΞΟΣ.

Πῶς οὖν ἀριθμοῦντες φατὲ, τρία εἶναι λέγειν τὰ αἴτια, τὴν ὑπόστασιν, τὴν οὐσίαν τοῦ πατρὸς, καὶ τρίτον αἴτιον, τὴν οὐσίαν τοῦ υἱοῦ; τοῦτο ὁ διδάσκαλος ὑμῶν ἔφησεν, ὅτε καὶ πρωτοπερ δικαπώριος τετίμηται, καὶ θεολόγος λέγων, δύο οὐσίας, μίαν μὲν πατρὸς, ἑτέραν δὲ τὴν τοῦ υἱοῦ· διὸ καὶ τῆς ἐκείνου πάντες τότε ἀκαίρου κατέγνωμεν φλυαρείας, τὶ δὲ ταυτὸν φατὲ οὐσίαν εἶναι καὶ ὑπόστασιν;

Ὁ ΛΑΤΙΝΟΣ.

Ταὐτὸν πάντως, ἐπειδήπερ συμμείζομεν τῆς ὑποστάσεως τὴν οὐσίαν.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Τί οὖν. ταὐτὸν ἐστὶν οὐσία καὶ ὑπόστασις; ὁμολογοῦμεν ἐπὶ θεοῦ τρεῖς ὑποστάσεις, ὁμολογήσομεν ἄρα (κατὰ σὲ) καὶ τρεῖς πάντως οὐσίας. εἰ δὲ μίαν οὐσίαν, μίαν πάντως καὶ ὑπόστασιν, κἀντεῦθεν Ἀρειοί τε ὁμοῦ, καὶ Σαβέλλιοι, γενησόμεθα, τὰ ἐκ διαμέτρου κακὰ καὶ ὁμότιμα τὴν ἀσέβειαν εἰς ταὐτὸν ἄγοντες.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀληθῶς ἔφης κἀν τούτῳ. καὶ γὰρ οὐκ ἔστι ταὐτὸ οὐσία καὶ ὑπόστασις, ἐπειδήπερ πλεῖστα συμβαίνει κἀντεῦθεν τὰ βλάσφημα, ἐπί τε τῆς θεολογίας, ἐπί τε τῆς ἐν σαρκὶ τοῦ Σωτῆρος οἰκονομίας, πλὴν καὶ τοῦτο ὁ διδάσκαλος ἡμῶν, θεολογεῖν οἰόμενος, πεφλυάρηκεν, χαίρειν νέμων τοῖς ὑπ' αὐτὸν περὶ καπωείοις, ἄρτι τὰ πρῶτα ἐκείνων ἐγχειροθριείς. πλὴν ἀξιῶ, σαφήνισον ἡμῖν πλατύτερον περὶ τούτου, πῶς χρὴ ἐκλαμβάνεσθαι τὴν τῶν ἁγίων πατέρων ῥῆσιν, τὴν λέγουσαν, ἐκ τῆς οὐσίας τοῦ υἱοῦ εἶναι τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ἐπεὶ ἀξιοῖς τοῦτο μαθεῖν, ἄκουε συνετῶς· λέγεται τὸ ἔκ τινος εἶναί τι πολλαχῶς. λέγεται γὰρ κατὰ γέννησιν, ὡς ὁ Σὴθ ἐκ τοῦ Ἀδάμ· κατ' ἐκπόρευσιν, ὡς ἡ Εὔα καὶ αὐτὴ ἐκ τοῦ Ἀδάμ. καθ' ὑλικὴν ἀποτομήν, ὡς ὁ λίθος οὗτος, ἐξ ἐκείνου τοῦ λίθου. καὶ τὸ ὕδωρ τοῦτο, ἐξ ἐκείνου τοῦ ὕδατος. κατὰ λόγον δημιουργίας, ὡς τὰ πάντα ἐκ τοῦ θεοῦ. κατὰ τοπικὴν ἐξέλευσιν, ἢ χρονικὴν, ἢ ἀποστολικήν, ὡς φαμὲν ἐκ τῆς πόλεως ταύτης, εἶναι τὸν δεῖνα, καὶ ἐξ ἐκείνου τοῦ χρόνου, καὶ ἐκ βασιλίδος ἀπεστάλθαι τοῦτον. λέγεται τὸ ἔκ τινος εἶναί τι, καὶ κατὰ ὁμοουσιότητα, ὡς φαμὲν, ὁ Ἰωάννης ἐκ τῆς οὐσίας ἐστὶ τοῦ Πέτρου, καὶ Παύλου, καὶ τῶν λοιπῶν ἀνθρώπων· οὐχ ὅτι γεγέννηται ἐκ πάντων αὐτῶν, ἀλλ' ὅτι ὁμοούσιος ἐστὶν αὐτοῖς, καὶ τῆς αὐτῶν οὐσίας. τὸ γὰρ λέγειν ἐκ τῆς οὐσίας εἶναι τὸν δὲ τοῦ δεῖνος, κατ' οὐδὲν ἄλλο σημαινόμενον λέγεται, ἢ κατὰ μόνην τὴν ὁμοουσιότητα·

κατὰ τοῦτο τοίνυν τὸ σημαινόμενον, καὶ οἱ θεῖοι πατέρες, ἔφασαν τὸ πνεῦμα τὸ ἅγιον εἶναι ἐκ τῆς οὐσίας τοῦ υἱοῦ. τουτέστι τῆς αὐτῆς οὐσίας, καὶ ὁμοούσιον τῷ υἱῷ. ὅθεν καὶ τὸ τῆς πίστεως σύμβολον, οἱ θεῖοι πατέρες ἐκφωνήσαντες καὶ

σύμβολον τῆς πίσ.

» εἰπόντες. Καὶ εἰς ἕνα κύριον, Ἰησοῦν Χριστὸν, τὸν υἱὸν τοῦ Θεοῦ, τὸν μονο-
» γενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα· καὶ οὐκ ἔφασαν, τὸν ἐκ τῆς οὐσίας τοῦ
» πατρὸς γεννηθέντα· καὶ πάλιν εἰπόντες, καὶ εἰς τὸ πνεῦμα, τὸ ἅγιον, τὸ κύ-
» ριον, τὸ ζωοποιὸν, οὐκ ἔφασαν τὸ ἐκ τῆς οὐσίας τοῦ πατρὸς ἐκπορευόμενον, ἀλλὰ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἐπειδὴ γὰρ οὐκ ᾔδησαν ὅλως ἐπὶ τῆς ἁγίας Τριάδος μερικὰς λέγειν οὐσίας, καὶ οὐσίαν αἰτίαν, καὶ οὐσίαν αἰτιατὴν· καὶ ἀντικειμένας κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν, ἀλλ' οὐδὲ ἁπλῶς μόνον τὸ ὁμοούσιον παραστῆσαι ἤθελον τῆς ἁγίας Τριάδος καὶ ὑπερουσίου, ἀλλὰ καὶ τὸ αἴτιον τοῦ τε υἱοῦ, καὶ τοῦ πνεύματος· καὶ ποταπὸν ἑκατέρου τούτων ἐστὶν ὁ πατὴρ αἴτιον. ὅτι τοῦ υἱοῦ μὲν γεννητικὸν, τοῦ δὲ παναγίου πνεύματος ἐκπορευτικόν. καὶ ὅτι τῷ μὲν πατρὶ μόνῳ πρόσεστι ἡ γεννητικὴ ἰδιότης· ὡς δὲ καὶ ἡ ἐκπορευτική· τοῦτο γὰρ τὸ τοῦ πατρὸς ἴδιον, τὸ εἶναι αἴτιον, τοῦ μὲν υἱοῦ, γεννητικὸν, τοῦ δὲ παναγίου πνεύματος, ἐκπορευτι-

Κύριλ.

» κὸν, ὡς καὶ ὁ θεῖος Κύριλλος διδάσκει, οὑτωσὶ φάσκων, ὁ παρὰ τοῦ πατρὸς
» ἐκπορεύεται, εἶπεν, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα, τῷ πατρὶ μόνῳ προ-
» σοῦσαν, πιστώσηται· τοῦ δὲ υἱοῦ, ἴδιον ἐστὶ τὸ γεννητὸν, οὐ μὴν δὲ τὸ γεννητικόν. ὡσαύτως καὶ τοῦ παναγίου πνεύματος, ἴδιον, τὸ ἐκπορευτὸν, οὐ μὴν δὲ καὶ τὸ ἐκπορευτικόν· τὸ γὰρ γεννητικὸν, καὶ τὸ ἐκπορευτικὸν, τοῦ αἰτίου ἐστὶν ἰδίωμα· εἴτ' οὖν τοῦ γεννῶντος καὶ τοῦ προβάλλοντος· τὸ δὲ γεννητὸν καὶ τὸ ἐκπορευτὸν, τοῦ γεγεννημένου καὶ ἐκπορευομένου. ὥστε τὸ λέγειν, τὸ ὅτι ἐκ τῆς οὐσίας ἐστὶ τοῦ δε, οὐδὲν ἄλλο σημαίνει, ἢ μόνον τὴν ὁμοουσιότητα· καὶ τὸ ταὐτὸν τῆς οὐσίας, καὶ οὐ τὸ αἴτιον, καὶ αἰτιατόν· ἢ εἰπάτωσαν ἡμῖν οἱ πρὸς τὴν ἀλήθειαν ἀνθιστάμενοι, τίς ποτε τῶν ἁγίων πατέρων ἔφησε, τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας ἐκπορεύεσθαι τοῦ υἱοῦ, ἢ ὅλως τὴν ὕπαρξιν ἔχειν, ἢ πρόβλημα εἶναι τοῦ υἱοῦ, ἢ ἐκπόρευμα, τὸ πνεῦμα τὸ ἅγιον, ἢ τὸν υἱὸν προβολέα τοῦ παναγίου πνεύματος; ἀλλ' οὐδ' ἄν τις ὅλως ἔχοι τοῦτο εἰπεῖν.

Ὁ ΛΑΤΙΝΟΣ.

Δέχομαι τοῦτο, πλὴν εἰ τὴν ὁμοουσιότητα μόνον σημαίνει, τὸ λέγειν ἐκ τῆς οὐσίας εἶναι τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, ἔστι δὲ καὶ ὁ υἱὸς ὁμοούσιος τῷ πνεύματι τῷ ἁγίῳ, ὥσπερ τὸ πνεῦμα τὸ ἅγιον τῷ υἱῷ, ἔδει τοὺς θείους πατέρας εἰπεῖν, καὶ ἐκ τῆς οὐσίας τοῦ πνεύματος εἶναι τὸν υἱόν. ἀλλὰ τοῦτο μὲν οὐδαμῶς λέλεκται τινὶ τῶν θείων πατέρων.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ὡς ἔοικεν ἀγνοεῖς τὰς κατὰ καιροὺς γενομένας ἐκκλησιαστικὰς πράξεις. τὴν πρώτην ἐκείνην σύνοδον ἀκούεις, Αὕτη τοίνυν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος, κατ᾽ Ἀρείου συγκροτηθεῖσα, τὸν μὲν Ἄρειον μετὰ τῶν αὐτοῦ δογμάτων, ἀναθέματι καθυπέβαλε, καὶ τῇ Γεέννῃ παρέπεμψεν. ἐπεκύροσε δὲ τὸν υἱὸν, ἐκ τῆς οὐσίας ὁμολογεῖν τοῦ πατρὸς, καὶ ὁμοούσιον τῷ πατρί. Ἡ δὲ δευτέρα ἁγία σύνοδος, κατὰ Μακεδονίου τοῦ πνευματομάχου συγκροτηθεῖσα, τὸν μὲν Μακεδόνιον, καὶ αὐτὴ ἀναθεμάτισε, καὶ τὰ αὐτοῦ ἀλλότρια τῆς εὐσεβείας δόγματα. ἐπεκύρωσε δὲ τὸ πνεῦμα τὸ ἅγιον, ἐκ τῆς οὐσίας ὁμολογεῖν τοῦ υἱοῦ, καὶ ὁμοούσιον τῷ υἱῷ, εὐγνωμονοῦντος τοῦ Μακεδονίου περὶ τὸν υἱὸν, καὶ ὁμοούσιον αὐτὸν λέγοντος τῷ πατρί, περὶ δὲ τὸ πνεῦμα τὸ ἅγιον, δυσμενῶς ἔχοντος, καὶ μὴ ὁμολογοῦντος αὐτὸ ὁμοούσιον τῷ, τε πατρὶ καὶ υἱῷ. Ἐπεὶ οὖν ἡ δευτέρα ἁγία αὕτη σύνοδος, ἐπεκύρωσε τὸ πνεῦμα τὸ ἅγιον, ἐκ τῆς οὐσίας ὁμολογεῖν τοῦ υἱοῦ, εἶτ᾽ οὖν ὁμοούσιον τῷ υἱῷ, περιττὸν καὶ πάντῃ ἀνοίκειον ἦν τοῖς πατράσι, ταυτομολογεῖν περὶ τὸ αὐτὸ, καὶ λέγειν καὶ τὸν υἱὸν ἐκ τῆς οὐσίας εἶναι τοῦ παναγίου πνεύματος, καὶ ὁμοούσιον τῷ πνεύματι τῷ ἁγίῳ, ἵνα μὴ καὶ ἀδολεσχίας ἐγκλήματι περιπέσωσιν· εἰ γὰρ τὸ πνεῦμα τὸ ἅγιον, ὁμοούσιον ἐστὶ τῷ υἱῷ, καὶ ὁ υἱὸς πάντως, ὁμοούσιος ἔσται τῷ παναγίῳ πνεύματι, τὸ γὰρ τινὶ ὁμοούσιον, κἀκεῖνο πάντως ἐστὶ τούτῳ ὁμοούσιον. εἰ μὲν οὖν ἦν ἡ κατὰ πνευματομάχων σύνοδος, προτέρα τῆς κατὰ τοῦ Ἀρείου συγκροθείσης συνόδου, καὶ προεπεκυρώθη τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας λέγεσθαι τοῦ πατρὸς, καὶ ὁμοούσιον τῷ πατρί, ἴσως εἶχεν ἂν ἡ κατὰ Ἀρείου ἐπιγενομένη σύνοδος, δευτερώσαι τα, ἐπικυρῶσαι καὶ τὸν υἱὸν ἐκ τῆς οὐσίας

ὁμολο-

ὁμολογεῖσθαι τοῦ παναγίου πνεύματος, καὶ ὁμοούσιον λέγειν τῷ παναγίῳ πνεύματι. ἐπεὶ δὲ ἡ περὶ τοῦ υἱοῦ συγκροτηθεῖσα σύνοδος, προϋπῆρξεν· ἥτις τὸν υἱὸν ὡμολόγησεν, οὐσίαν εἶναι τῷ πατρὶ, εἰκότως καὶ ἡ δευτέρα τὸ πανάγιον ὡμολόγησε πνεῦμα, ὁμοούσιον εἶναι τῷ υἱῷ· εἰ δὲ τῷ υἱῷ, πάντως καὶ τῷ πατρὶ δηλονότι· καὶ οὐκ ἔσχεν ἀνάγκην, ὡς ἔφημεν, παλιλογεῖν περὶ τὸ αὐτὸ, καὶ λέγειν, καὶ τὸν υἱὸν ὁμοούσιον εἶναι τῷ παναγίῳ πνεύματι, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἔστω ταῦτα καὶ τοὺς θείους πατέρας φεύγοντας τὸ ἀδολεσχεῖν, μὴ φάναι καὶ τὸν υἱὸν ἐκ τῆς οὐσίας εἶναι τοῦ πνεύματος, ἀρκεσθέντας εἰπεῖν, τὸ πνεῦμα ἐκ τῆς οὐσίας εἶναι τοῦ υἱοῦ· τί δὲ οὐ διὰ τοῦ υἱοῦ δεξόμεθα ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν ὕπαρξιν ἔχειν; τοῦτο γὰρ πάντες σχεδὸν οἱ θεῖοι πατέρες ὁμολογοῦσι, καὶ δὴ καὶ αὐτὸς ὁ ὑμνογράφος Δα-
Δαμασ. » μασκηνὸς, ἐν ὕμνοις οὕτω φησίν. Ἔθου ἡμῖν ἀκαταίσχυντον πρέσβιν, τὴν
» σὲ τεκοῦσαν Χριστὲ, ταύτης ταῖς ἐντεύξεσιν, ἵλεον νέμοις ἡμῖν, πνεῦμα με-
» ταδοτικὸν ἀγαθότητος, ἐκ πατρὸς διὰ σοῦ προερχόμενον. εἰ δὲ διὰ τοῦ υἱοῦ ἐκπορεύεται, καὶ τὴν ὕπαρξιν ἔχει, πάντως καὶ ἐκ τοῦ υἱοῦ. τοῦτο γὰρ καὶ ὁ θεῖος διδάσκει Βασίλειος, ἐν τοῖς πρὸς Ἀμφιλόχιον τριάκοντα
Βασίλ. » κεφαλαίοις, λέγων, μηδὲν διαφέρειν ἐπὶ τῆς θεολογίας, τὴν διὰ
» πρόθεσιν, καὶ τὴν ἐκ.

ΚΕΦΑΛΑΙΟΝ ζ.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Οὐ γὰρ ἔφην, καὶ πάλιν τὸ αὐτὸ τοῦτο φημὶ, ὅτι οὐ χρὴ ἀνεξετάστως οὕτω καὶ ἀμαθῶς, τὰς τῶν θείων πατέρων προφέρειν γραφὰς, καὶ ἀπὸ κοιλίας φθέγγεσθαι, περὶ τῶν θείων τῆς εὐσεβείας δογμάτων. ἄνοιξον οὖν τοὺς μυωπάζοντας ὀφθαλμοὺς, οὐ μόνον τοὺς τῆς σῆς διανοίας, ἀλλὰ καὶ αὐτοὺς τοὺς κατ' αἴσθησιν ὁρῶντας, καὶ θέασαι τὴν χρῆσιν, ἣν αὐτὸς καὶ προσήνεγκας εἰς σύστασιν τοῦ ὑμετέρου φρονήματος, πῶς
» ἔχει ἐγγράφως· Ἵλεον νέμοις ἡμῖν, πνεῦμα μεταδοτικὸν ἀγαθότητος, ἐκ

πατρὸς

πατρὸς διὰ υἱοῦ ἐκπορευόμενον. εἰ μὲν γὰρ ἦ γεγραμμένον, ἐκ πατρὸς διὰ υἱοῦ ἐκπορευόμενον, ἴσως τάχ' ἂν ἔσχες ἐκ τούτου λαβεῖν, ὡς πλέγειν, διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν τὸ πνεῦμα τὸ ἅγιον. ἐπεὶ δὲ οὐδαμῶς ὅλως ἐστὶν ἐνταῦθα γεγραμμένον, τὸ ἐκπορευόμενον, ἀλλὰ προερχόμενον, ψεύδεσθε διαβάλλοντες, οὐ μόνον τὴν τοῦ θείου πατρὸς Δαμασκηνοῦ διάνοιαν, ἀλλὰ καὶ αὐτὸ τὸ ῥητόν, καὶ διπλοῦν ἐκ θεοῦ τὸ κατάκειμα ἐπισπᾶσθε. ὅτι δὲ καὶ τὸν μέγαν Βασίλειον ἐπεισάγετε ἐν τοῖς πρὸς Ἀμφιλόχιον τριάκοντα κεφαλαίοις, λέγοντα, μηδὲν διαφέρειν ἐπὶ τῆς θεολογίας, τὴν διὰ. πρόθεσιν, καὶ τὴν. ἐκ. κἀκ τούτων συνάγεις αὐτὸς καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ὅ φασὶ διὰ τοῦ υἱοῦ, κἀντεῦθεν οὐ μικρῶς ἁμαρτάνετε. οὐ γὰρ περὶ ὑποστατικοῦ αἰτίου καὶ ἰδιώματος αὐτῷ ὁ λόγος, ἀλλὰ περὶ τοῦ δημιουργικοῦ αἰτίου. τῶν γὰρ υἱομάχων αἱρετικῶν λεγόντων, ὑπουργικοῦ ὀργάνου χρῆσιν ἀποπληροῦντα τὸν υἱόν, λέγοντος τοῦ Εὐαγγελίου, πάντα δι' αὐτοῦ ἐγένετο. καὶ τοῦ θείου Ἀπο- ,, Ἰωάν. α. στόλου, εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. ὁ θεῖος φησὶ Βασίλειος, ,, Κοριν. α. η ὅτι διὰ τοῦ υἱοῦ, οὐχ ὡς δι' ὀργάνου τοῦ υἱοῦ τοῦτο φασὶν αἱ θεῖαι γραφαί, ἀλλ' ὡς ἐκ τοῦ υἱοῦ, ὥσπερ καὶ ἐκ πατρός. ἐκ γὰρ τῆς δημιουργίας πατρός, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, τὰ πάντα. περὶ τούτου οὖν φησὶν ὁ θεῖος Βασίλειος, μηδὲν διαφέρειν ἐπὶ τῆς θεολογίας, τὴν διὰ. πρόθεσιν, καὶ τὴν. ἐκ. καὶ οὐ περὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, ὡς ὑμῖν δοκεῖ.

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δέ, τὸ προέρχεσθαι, οὐκ ἔστι ταὐτὸν τῷ ἐκπορεύεσθαι; ἡμεῖς γὰρ φαμὲν ταὐτὸν εἶναι, τό, τε προέρχεσθαι, καὶ τὸ ἐκπορεύεσθαι. καὶ ἀδιαφόρως ἐν ταῖς γραφαῖς ταῦτα ἐκλαμβάνομεν.

Ὅτι οὐκ ἔστι ταὐτὸν τὸ προέρχεσθαι, τῷ ἐκπορεύεσθαι.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ' οὐκ ἔστι τοῦτο οὐκ ἔστι. κατὰ πολὺ γὰρ τούτων τὸ διάφορον. εἰ γὰρ τὸ ἐκπορεύεσθαι, ταὐτὸν ἐστὶ τῷ προέρχεσθαι· τὸ δὲ προερχόμενον,

τινὶ προέρχεσθαι, καὶ τὸ ἐκπορευόμενον ἀέρα, τισὶν ἐκπορεύεσθαι, καθ' ὑμᾶς χρὴ λέγειν· ἀλλὰ τοῦτο μὲν βλάσφημον, καὶ τῆς τοῦ Ἀρείου ἄντικρυς δόξης· ἢ οὐ συνίεις τὴν τοῦ θείου Δαμασκηνοῦ ῥῆσιν, ἣν αὐτὸς καὶ εἰς [Δαμασκ.] χρῆσιν προσήνεγκας; φησὶ γάρ, "Ἵλεων νέμοις ἡμῖν, πνεῦμα διὰ σοῦ "Χριστὲ ἐκ πατρὸς προερχόμενον. ὁρᾷς ὅτι ἡμῖν προέρχεται, καὶ ἡμῖν διὰ τοῦ Χριστοῦ νέμεται; οὐ πάντως δὲ καὶ ἡμῖν διὰ τοῦ Χριστοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἡμῖν τὴν ὕπαρξιν ἔχει, εἴτ' οὖν δι' ἡμᾶς, καὶ ἡμῶν ἕνεκα. εἰ γὰρ τοῦτο, κρείττονες πάντως ἡμεῖς τοῦ παναγίου πνεύματος, ὅτι δι' ἡμᾶς ἐκεῖνο τὴν ὕπαρξιν ἔχει, καὶ ἡμῶν ἕνεκα, καὶ ἡμεῖς τελεστικὸν αἴτιον τῆς ἐκείνου ὑπάρξεως. κρεῖσσον γὰρ καὶ τιμιώτερον ἐστὶ τὸ οὗ ἕνεκα, τοῦ ἕνεκά του. ἀλλ' ὡς περὶ τὸν υἱὸν τοῦ Θεοῦ φαμέν, ὑπὲρ αἰτίαν καὶ λόγον γεγεννῆσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν, ἐκ τοῦ Θεοῦ καὶ πατρός, καὶ οὐχ ἡμῖν, ἢ δι' ἡμᾶς, καὶ ἡμῶν ἕνεκα, ἵνα μὴ κρείττονες ἡμεῖς ὦμεν τοῦ υἱοῦ τοῦ Θεοῦ· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὑπὲρ αἰτίαν καὶ λόγον φαμὲν ἐκπορεύεσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν ἐκ τοῦ Θεοῦ καὶ πατρός, καὶ οὐχ ἡμῖν, ἢ δι' ἡμᾶς, καὶ ἡμῶν ἕνεκα· τὸ γὰρ λέγειν τὸν υἱὸν τοῦ Θεοῦ, ἢ τὸ πανάγιον πνεῦμα, τισίν, ἢ εἰς τὸ δέ τι, ἢ διὰ τοῦ δὲ γεγεννῆσθαι, ἢ ἐκπορεύεσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν, ἀλλότριον τῆς τῶν χριστιανῶν εὐσεβείας, καὶ τῆς τοῦ διαβόλου ἄντικρυς θεραπείας.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀλλ' εἰ τὸ προέρχεσθαι, οὐκ ἔστι ταὐτὸν τῷ ἐκπορεύεσθαι, ἀντὶ τίνος χρὴ αὐτὸ ἐκλαμβάνεσθαι;

ΚΕΦΑΛΑΙΟΝ ιγ.

Ὅτι τὸ προέρχεσθαι, καὶ τὸ προϊέναι, καὶ τὰ λοιπά, οὐκ ἔστι ταὐτὸν τῷ ἐκπορεύεσθαι.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἄκουε σιωπῶν, καὶ πάντως λείψῃ καὶ τὴν τούτου σαφήνειαν. τὸ προέρχεσθαι, καὶ τὸ προϊέναι, γενικά εἰσιν ὀνόματα, καὶ καθολι-

κά,

κά, καὶ ὅτε μὲν ἐκ τοῦ πατρὸς παρ' αἰτίαν καὶ λόγον προφέρουσι ταῦτα οἱ θεῖοι πατέρες, τότε ἢ ἀντὶ τῆς γεννήσεως τοῦ υἱοῦ, ἢ ἀντὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, ἐκλαμβάνονται ταῦτα, ὥσπερ φησὶν ὁ τῆς θεολογίας ἐπώνυμος θεῖος Γρηγόριος, προϊὸν μὲν ἐκ πατρὸς, οὐχ ὑϊκῶς ,, δέ· οὐ δὲ γὰρ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. ὅτε δὲ μετ' αἰτίας τινὸς προ- ,, φέρουσι, τό, τε προέρχεσθαι, καὶ τὸ προϊέναι, τότε ἀντὶ τοῦ χορηγεῖσθαι ἀνενδοιάστως καὶ φανερῶς ἐκλαμβάνονται ταῦτα· διὰ τοῦτο οὐδὲ ἀντιστρέφει ταῦτα ὡς γενικὰ ὀνόματα. εἰ γὰρ ἐκπόρευσις ἐστὶ, πάντως ἐστὶ καὶ πρόεσις. οὐ μὴν εἰ πρόεσις, ἤ δὴ καὶ ἐκπόρευσις ἐστίν· ἔστι γὰρ καὶ ἡ γέννησις πρόεσις, ὥσπερ καὶ εἰ ἄνθρωπος ἐστὶ, καὶ ζῶον πάντως ἐστίν· οὐ μὴν εἰ ζῶον ἐστὶν, ἤ δὴ καὶ ἄνθρωπος. ἔστι γὰρ ἵππος ἢ βοῦς, καὶ τὰ τοιαῦτα. καὶ εἰ ἐκπορευόμενον ἐστὶ, πάντως ἐστὶ καὶ προερχόμενον. οὐ μὴν εἰ προερχόμενον ἐστὶν, ἤ δὴ καὶ ἐκπορευόμενον· ἔστι γὰρ καὶ τὸ χορηγούμενον, προερχόμενον· ὅτι δὲ τὸ ἐκπορεύεσθαι, οὐ μόνον ἄνευ αἰτίας ἐκλαμβάνει ὁ θεῖος οὗτος πατὴρ Δαμασκηνὸς, ἀλλ' οὐ δὲ διὰ τοῦ υἱοῦ, ἄκουσον καὶ πάλιν αὐτοῦ ἐν ὕμνοις, τί πρὸς κύριον ψάλλει. Ἁπάντων μὲν κύριον, ἑνὸς δὲ μόνου μονογενοῦς υἱοῦ ὀρθοδόξως ,, πατέρα θεολογοῦντες σὲ καταγγέλομεν. καὶ ἓν εἰδότες σοῦ ἐκπορευόμενον, ,, πνεῦμα εὐθὲς συμφυὲς καὶ συναΐδιον. Ὁρᾷς ὅτι οὐ μόνον ἄνευ αἰτίας τίθησι ,, τὸ ἐκπορευόμενον, ἀλλ' οὐδὲ διὰ τοῦ υἱοῦ τοῦτο φησὶν ἐκπορεύεσθαι; φάσκων, καὶ ἓν εἰδότες σοῦ ἐκπορευόμενον πνεῦμα, καὶ οὔτε ἡμῖν φησὶ τοῦτο ἐκπορεύεσθαι, οὔτε διὰ τοῦ υἱοῦ; εἰ γὰρ ἀντὶ τοῦ ἐκπορευόμενον ἐλάμβανεν ἐκεῖσε τὸ προερχόμενον, ἔδει καὶ ἐνταῦθα θεῖναι αἰτίον, καὶ διὰ τοῦ υἱοῦ φράσαι καὶ εἰπεῖν, καὶ ἓν εἰδότες πνεῦμα ἐκπορευόμενον ἡμῖν, διὰ τοῦ υἱοῦ. ἀλλὰ τοῦτο μὲν οὐδαμῶς ἔφησε, δεικνὺς ἕτερον εἶναι τὸ προερχόμενον, καὶ ἕτερον τὸ ἐκπορευόμενον· τὸ γὰρ ἐρχόμενον ἐκεῖσε, ἀντὶ τοῦ χορηγούμενον ἐξελάβετο.

Γρηγόρ. ὁ θεολόγ.

Δαμασκ.

Ὁ ΛΑΤΙΝΟΣ.

Ἀλλ' ἡμεῖς γε τό, τε προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ προϊέναι, καὶ πεφηνέναι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, καὶ ἐνιέναι, καὶ τὰ τοιαῦτα, ταυτοσήμαντα φαμὲν εἶναι, καὶ ὁμοδύναμα τῷ ἐκπορεύεσθαι· εὑρίσκομεν δὲ ἀριδήλως καὶ φανερῶς ἐν ταῖς τῶν πατέρων γραφαῖς διὰ

τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ προέρχεσθαι, καὶ προϊέναι, καὶ πεφηνέναι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, καὶ ἐνιέναι, τὸ πνεῦμα τὸ ἅγιον, πάντως καὶ τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα διὰ τοῦ υἱοῦ, καὶ ἐκ τοῦ υἱοῦ, οὐκ ἂν ἀρνησαίμεθα πώποτε. εἰ δὲ τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ, ὑμεῖς ἀπαρνῆσθε, μη δὲ τὸ προέρχεσθαι, καὶ προϊέναι, καὶ πεφηνέναι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, καὶ ἐνιέναι, τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ δέξασθε ὅλως, ἀλλὰ μὴν ὁμολογεῖτε τὸ πνεῦμα διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ προϊέναι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, καὶ ἐνιέναι, ἔχοντες τοῦτο ἀπὸ τῶν ἁγίων πατέρων· οὐκ ἄρα χρὴ ἀπαρνεῖσθαι, καὶ τὸ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον.

Ὁ ὈΡΘΌΔΟΞΟΣ.

Ἀλλ' οὐκ ἔστιν ὦ οὗτοι, ταῦτα τὰ ὀνόματα ταυτοσήμαντα ὡς ὑμεῖς φατὲ, καὶ ὁμοδυνάμα τῷ ἐκπορεύεσθαι. εἰ γὰρ τὸ μὲν ἐκπορεύεσθαι, τρόπος ἐστὶ τῆς τοῦ παναγίου πνεύματος ἐκπορεύσεως, καὶ χαρακτηριστικὸν ἰδίωμα τῆς ὑποστάσεως αὐτοῦ· τὸ δὲ προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ τὰ τοιαῦτα, οὐκ ἔστι χαρακτηριστικὸν ἰδίωμα τῆς ὑποστάσεως τοῦ παναγίου πνεύματος, οὐ δὲ τρόπος τῆς ὑπάρξεως αὐτοῦ, ὅτι ὁμωνύμως λέγονται, καὶ κοινὰ, καὶ καθολικὰ, καὶ πολυσήμαντα ἐστὶ ταῦτα τὰ ὀνόματα. καὶ γὰρ οὐ μόνον ἀντὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος λαμβάνονται τοῖς θείοις πατρᾶσι, ἀλλὰ καὶ ἀντὶ τῆς γεννήσεως τοῦ υἱοῦ. πρὸς δὲ τούτοις, καὶ ἀντὶ τῆς μεταδόσεως καὶ χορηγίας τῆς θείας χάριτος τοῦ παναγίου πνεύματος. διὸ οὐ δ' ἀντιστρέφουσι ταῦτα πρὸς τὸ ἐκπορεύεσθαι, ὡς καὶ ἄνωθεν ἔφημεν· εἰ γὰρ τὸ ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, ταυτὸν ἐστὶ τῷ προέρχεσθαι, καὶ προϊέναι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, λαμβάνονται δὲ ταῦτα, καὶ ἀντὶ τοῦ γεννᾶσθαι τὸν υἱόν· τὸ ἄρα ἐκπορεύεσθαι, (καθ' ὑμᾶς) ταυτὸν ἐστὶ τῷ γεννᾶσθαι. ἀλλὰ μὴν τοῦτο βλάσφημον. οὐκ ἄρα ταυτὸν ταῦτα, τῷ ἐκπορεύεσθαι· ὅτι οὐδὲ τὸ καθόλου, ταυτὸν ἐστὶ τῷ μερικῷ· καὶ τὸ ὁμώνυμον, τῷ ἁπλῶς λεγομένῳ. ὅτι δὲ ταῦτα τὰ ὀνόματα λαμβάνονται καὶ ἀντὶ τῆς γεννήσεως τοῦ παναγίου πνεύματος, φανερόν· καὶ γὰρ εὑρίσκομεν ἐν ταῖς τῶν θείων πατέρων γραφαῖς, ἄμφω

τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, προέρχεσθαι, καὶ πηγάζεσθαι, καὶ ἐκλάμ-
πειν, καὶ ὑπάρχειν, καὶ προϊέναι, ἐκ τοῦ πατρός. οὐ μὴν ἄμφω καὶ γεννᾶσθαι
ἐκ τοῦ πατρὸς, ἢ ἄμφω ἐκπορεύεσθαι ἐκ τοῦ πατρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα
τὸ ἅγιον. ἀλλὰ τὸν μὲν υἱὸν, γεννᾶσθαι· τὸ δὲ πνεῦμα, ἐκπορεύεσθαι. ὥστε
τὸ γεννᾶσθαι ἢ ἐκπορεύεσθαι, ἔστι καὶ προέρχεσθαι, καὶ προϊέναι, καὶ πη-
γάζεσθαι, καὶ ἐκλάμπειν, καὶ ὑπάρχειν, οὐ μὴν ταῦτα ἐστὶ γεννᾶσθαι,
καὶ ἐκπορεύεσθαι. λαμβάνονται δὲ ταῦτα τὰ ὀνόματα τοῖς θείοις πατρά-
σι, καὶ ἐπὶ τῆς πρὸς ἡμᾶς χορηγίας καὶ μεταδόσεως τῆς θείας χάριτος
καὶ ἐνεργείας τοῦ παναγίου πνεύματος, ὅτε προσφέρονται μετ' αἰτίας τι-
νός, ἤγουν τισὶν, ἢ εἰς τὸ δέ τι, καὶ διὰ τὸ δε, καὶ ἕνεκα τοῦ δε. διὸ καὶ
διὰ τοῦ υἱοῦ, καὶ ἐκ τοῦ υἱοῦ, καὶ ἐπίσης ἐκ πατρὸς καὶ υἱοῦ λέγονται. ὡς ὁ
Δαμασκηνὸς φησὶν Ἰωάννης· Ἵλεον νέμοις ἡμῖν πνεῦμα μεταδοτικὸν ἀγα- „ Δαμασκ.
θότητος, διὰ σοῦ ἐκ πατρὸς προερχόμενον. καὶ ὁ θεῖος Κύριλλος πρὸς „
Νεστόριον· καὶ προχεῖται παρὰ τοῦ υἱοῦ τοῖς ἀποστόλοις, καθάπερ ἀμέλει „ Κύριλ.
καὶ ἐκ Θεοῦ καὶ πατρός. καὶ ἐκ τοῦ υἱοῦ πρόεισι τοῖς ἀξίοις, κατὰ τὴν ἑκάστου „ Ἀθανάσ.
δύναμιν τὸ πνεῦμα τὸ ἅγιον, φησὶν ὁ θεῖος Ἀθανάσιος. καὶ δι' υἱοῦ πιστοῖς „ Γρηγόρ. ὁ
ἡμῖν πεφηνὸς τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἐν θαυματουργίαις μέγιστος θεῖος φησὶ „ θαυματ.
Γρηγόριος. καὶ παρὰ τοῦ Σωτῆρος ἐκλάμπει καὶ πηγάζεται τοῖς δικαίοις „ Χρυσόστ.
τὸ πνεῦμα τὸ ἅγιον, φησὶν ὁ ἱερὸς Χρυσόστομος. καὶ ἐνίησι τοῖς φωτιζο- „ Κυρι. ἱεροσ.
μένοις ὁ Σωτὴρ τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἐν Ἱεροσολύμοις θεῖος φησὶ Κύριλ- „
λος. καὶ νομοθετῶν ὁ Χριστὸς ὡς ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ, φυσικῶς ὑπάρχον „ Κυρι. ἀλεξ.
τὸ πνεῦμα αὐτοῦ, νομοθετεῖ, ὁ Ἀλεξανδρείας φησὶ Κύριλλος ἐν θησαυροῖς. „
ὥστε ὅτε μὲν εὑρίσκονται ταῦτα τὰ ὀνόματα ἐν ταῖς τῶν θείων πατέρων
γραφαῖς ὑπὲρ αἰτίαν καὶ λόγον, ἢ ὡς ἄνευ τινὸς αἰτίας, καὶ ἀσχέτως, καὶ
ἀπολύτως, ἐκ πατρὸς μόνου, τότε ἢ ἀντὶ τῆς γεννήσεως τοῦ υἱοῦ, ἢ ἀντὶ
τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος λαμβάνονται· ὅτε δὲ μετ' αἰτίας
τινὸς εὑρίσκονται, ἢ ὥς τισὶν, ἢ εἰς τὸ δέ τι, καὶ διὰ τὸ δε, καὶ ἕνεκα τοῦ
δε, καὶ διὰ τοῦ υἱοῦ, ἢ καὶ ἐκ τοῦ υἱοῦ, ἢ ἐκ πατρὸς καὶ υἱοῦ, τότε σαφῶς τε
καὶ ἀριδήλως τὴν πρὸς ἡμᾶς χορηγίαν τε καὶ μετάδοσιν τῆς θείας χάρι-
τος καὶ δωρεᾶς τοῦ ἁγίου πνεύματος σημαίνουσι. καὶ ἀντὶ τοῦ χορηγεῖσθαι

λαμβάνονται ταῦτα. τὸ δὲ πεφηνέναι, καὶ ἐκλάμπειν, καὶ ἀντὶ τοῦ πεφανερῶσθαι λαμβάνεται. διὰ γὰρ τοῦ υἱοῦ τοῦ Θεοῦ πεφανέρωται ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον. ἐπεὶ δὲ ταῦθ' οὕτως ἔχει, πόσος ἑσμὸς ἀτοπημάτων ἐπακολουθεῖ τοῖς συγχέουσι τὴν ὑποστατικὴν ἰδιότητα; καὶ τὸν τρόπον τῆς ὑπάρξεως, τοῦ παναγίου πνεύματος, τὴν ἐκπόρευσιν μετὰ τῶν τοιούτων λεγομένων ὀνομάτων, καὶ φάσκουσι ταυτὸν εἶναι τὸ ἐκπορεύεσθαι, τῷ προέρχεσθαι, καὶ τοῖς τοιούτοις ὀνόμασιν;

Ο ΛΑΤΙΝΟΣ.

Καὶ μὴν ὁ θεῖος Κύριλλος, ἑρμηνεύων, καὶ φανερῶς δεικνὺς, τὸ προχεῖσθαι ταυτὸν εἶναι, καὶ ὁμοδυνάμον κατὰ πάντα, τῷ ἐκπορεύεσθαι, φησί,
Κύριλλ. „ προχεῖται, ἤγουν ἐκπορεύεται ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον. εἰ δὲ ταυτὸν τὸ προχεῖσθαι τῷ ἐκπορεύεσθαι, προχεῖται δὲ καὶ ἐκ τοῦ υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς. καθώσπερ αὐτὸς πάλιν ὁ θεῖος
Κύριλλ. „ Κύριλλος φησὶ πρὸς Νεστόριον, τίς οὐ συνθήσεται μὴ ἐκπορεύεσθαι καὶ ἐκ
„ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς;

ΚΕΦΑΛΑΙΟΝ Θ.

Ὅτι τὸ προχεῖσθαι ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, τῆς θείας χάριτος ἐστὶ δηλωτικόν. καὶ οὐ τῆς ὑπάρξεως τοῦ παναγίου πνεύματος.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ' οὐκ ἔστιν ἐνταῦθα ὦ οὗτος, τὸ, ἤγουν, συλληπτικὸν καὶ δηλωτικὸν ὅλου τοῦ προχεῖσθαι, ἵν' ᾖ ταυτὸν τὸ προχεῖσθαι, τῷ ἐκπορεύεσθαι. οὐδὲ γὰρ ἐπὶ τῶν ὁμωνύμων καὶ κοινῶν ὀνομάτων τὸ διασαφητικὸν τοῦτο πρόρρημα, τὸ, ἤγουν, συλληπτικῶς ἐκφωνεῖται. ἢ γὰρ ἂν μάτην προσεκφωνεῖται μὴ διασαφοῦν, μὴ δὲ διακρῖνον καὶ διαστέλλον τὸ σημαινόμενον, περὶ οὗ ὁ λόγος, ἀπὸ τῆς ὅλης καὶ καθόλου καὶ συγκεχυμένης, καὶ πλάνην ἐμποιούσης ὁμωνυμίας· ἀλλὰ μᾶλλον διαιρετικὸν ἐστὶ τῆς ὁμωνυμίας, καὶ δηλωτικὸν τοῦ ἑνὸς σημαινομένου, περὶ οὗ ὁ λόγος τυγχάνει. διὸ καὶ

διασα-

διασαφητικὸν τοῖς στοϊκοῖς κατωνόμασται. ἀπὸ γὰρ τοῦ ἤ, διασαφητικοῦ συνδέσμου, καὶ τοῦ γε, καὶ τοῦ οὖν, παραπληρωτικοῦ, συντίθεται κατὰ συγκοπήν. ἐπεὶ οὖν ὁ θειότατος Κύριλλος προχεῖται ἐκ τοῦ πατρὸς τὸ πνεῦμα τὸ ἅγιον, καὶ δηλώσας τὴν ἐξ ἀενάου ἀενάως ἀέναον πρόοδον τῆς τούτου ὑπάρξεως διὰ τοῦ προχεῖσθαι, καὶ συνιδὼν τὴν φωνὴν, ὡς ὁμώνυμον οὖσαν, διεῖλε ταύτην διὰ τοῦ σαφητικοῦ τούτου προρήματος, ἐπαγαγὼν τὴν ἐκπόρευσιν. ὡς εἴ τις καὶ περὶ Ἀνθρώπου φησὶ, τὸ ζῶον τοῦτο, ἤγουν ὁ Ἄνθρωπος. τὸ ἤγουν, οὐκ ἔστι πάντως συλληπτικὸν καὶ δηλωτικὸν ὅλου τοῦ ζώου. εὑρίσκετο γὰρ ἂν οὕτω καὶ ὁ βοῦς Ἄνθρωπος· εἰ γὰρ τὸ ζῶον ταυτὸν τῷ Ἀνθρώπῳ ἐστὶ, κατηγορεῖται δὲ τοῦτο καὶ τοῦ βοὸς, κατηγορηθήσεται ἄρα καὶ ὁ Ἄνθρωπος τοῦ βοός. καὶ πάλιν τὸ φυτὸν κινεῖται, ἤγουν ἀνθεῖ. εἰ γοῦν τὸ, ἤγουν, συλληπτικόν ἐστιν ὅλου τοῦ κινεῖσθαι, καὶ ταυτὸν τὸ κινεῖσθαι, τῷ ἀνθεῖν. κατηγορεῖται δὲ τὸ κινεῖσθαι καὶ τῆς φορᾶς, κατηγορηθήσεται ἄρα καὶ τὸ ἀνθεῖν τῆς φορᾶς. ἀλλὰ μὴν τὰ φερόμενα, οὐ πάντως ἀνθεῖ. καὶ ἄπειρα μέν ἐστι ταῦτα, τοῖς θέλουσι κατὰ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου παραλογίζεσθαι. εἰ δὲ, ταῦτα μὲν ἄτοπα· καὶ γὰρ ἄτοπον, καὶ παρὰ φύσιν κατηγορεία, τὸ λέγειν, ταυτὸν εἶναι τὸ καθόλου ζῶον, τῷ Ἀνθρώπῳ. καὶ τὴν καθόλου κίνησιν, τῷ ἀνθεῖν· ἄτοπον πάντως καὶ τὸ λέγειν, ταυτὸν εἶναι τὸ προχεῖσθαι, τῷ ἐκπορεύεσθαι. εἰ γὰρ ταυτὸν εἶδεν ὁ θεῖος Κύριλλος τὸ προχεῖσθαι, τῷ ἐκπορεύεσθαι, ἔδει λέγειν ἐκπορεύεσθαι καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα. ὥσπερ φησὶ καὶ προχεῖσθαι. ἀλλ' οὐδεὶς οὐδαμοῦ οὐδ' ὅλως τὸ παράπαν τετόλμηκε τοῦτο εἰπεῖν. ἢ δεῖξον εἰ ὅλως εὕρησέ που τὸ πνεῦμα προχεῖται, ἤγουν, ἐκπορεύεται ἐκ τοῦ υἱοῦ, ἢ ἐκπορεύεται καὶ ἐκ τοῦ υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ πατρός. Ἀλλ' οὐδ' ἂν ἔμελλεν οὕτως ἐκστῆναι τῆς εὐσεβείας, ὁ τῆς εὐσεβείας Διδάσκαλος· ὁρᾷς ὅπως οἱ θέλοντες διαστρέφειν τὸν λόγον τῆς εὐσεβείας, πῶς οὐ μόνον εἰς Θεὸν ἁμαρτάνουσι, ἀλλὰ καὶ τοὺς θείους πατέρας ὡς δυσσεβεῖς διαβάλλουσιν; ἀλλ' οὖν ἴδωμεν τὴν ῥῆσιν τοῦ θείου Κυρίλλου, ἣν αὐτὸς καὶ προέφερες εἰς σύστασιν τῆς σῆς δόξης, πῶς ἔχει ἐντελεστέρως· ἐν γὰρ τῇ ἐξηγήσει τοῦ θείου Συμβόλου οὕτω φησί. διαπεράναντες δὲ τὸν περὶ Χριστοῦ λόγον οἱ „ Κύριλ.

τρισμα-

ἑρμηνεύων τὸ σύμβ. » τρισμακάριοι πατέρες, τοῦ ἁγίου πνεύματος διαμνημονεύουσι· πιστεύειν » γὰρ ἔφασαν εἰς αὐτὸ, καθάπερ ἀμέλει καὶ εἰς τὸν πατέρα, καὶ εἰς τὸν » υἱόν. ὁμοούσιον γὰρ ἐστὶν αὐτοῖς, καὶ προχεῖται μὲν, ἤγουν ἐκπορεύεται, » καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει, διὰ

Ἰωαν. κ. » τοῦ υἱοῦ. ἐνεφύσησε γοῦν τοῖς ἰδίοις μαθηταῖς καὶ Ἀποστόλοις λέγων, λάβετε πνεῦμα ἅγιον. οὐκοῦν ἐκ Θεοῦ καὶ πατρὸς τὸ πνεῦμα ἐστὶ, καὶ » οὐκ ἀλλότριον τῆς ἀνωτάτω πάσης οὐσίας. Ὁρᾷς πῶς εἰπὼν ὅτι προχεῖται μὲν, ἤγουν ἐκπορεύεται, καθάπερ ἀπὸ πηγῆς τοῦ Θεοῦ καὶ πατρὸς οὐκ ἔφησε καὶ ἐκ τοῦ υἱοῦ; ἀλλὰ τὴν μὲν ἐκπόρευσιν, ἤγουν τὴν ἐκπορευτικὴν ἰδιότητα, ἀπένειμε τῷ πατρὶ μόνῳ, τὴν χορηγίαν δὲ τῷ υἱῷ, εἰπὼν, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ υἱοῦ; καὶ τοῦτο πιστωσάμενος, διὰ τὸ εἰπεῖν, ἐνεφύσησε τοῖς ἰδίοις μαθηταῖς καὶ Ἀποστόλοις λέγων, λάβετε πνεῦμα ἅγιον. εἰ γὰρ ἦν ταυτὸν τὸ χορηγεῖσθαι, ὡς ἔφημεν, ἢ προχεῖσθαι, τῷ ἐκπορεύεσθαι, οὐκ ἂν ἀπένειμε τῷ πατρὶ μόνῳ τὴν ἐκπόρευσιν. τὴν χορηγίαν δὲ τῷ υἱῷ. οὐκ ἂν δὲ τοσαύτην τὴν διαφορὰν τούτων ἐνέφηνε, διὰ τῆς τῶν συνδέσμων τούτων διαστολῆς. τοῦ, μὲν· τοῦ, δὲ· εἰπὼν ἐκπορεύεται μὲν, ἐκ τοῦ πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει, διὰ τοῦ υἱοῦ· οὐκ ἂν δὲ καὶ τὸ ἐκπορεύεσθαι, ἀναιτίως καὶ ἀπολύτως προσήνεγκε. τὸ δὲ χορηγεῖσθαι οὐκ ἀναιτίως, ἐπενεγκὼν τὴν αἰτίαν, διὰ τοῦ εἰπεῖν χορηγεῖται τῇ κτίσει. ἆρ' οὖν ἐκπορεύεται καὶ τῇ κτίσει; ἀλλ' οὐδ' ἂν οὐδ' αὐτοὶ οἱ δαίμονες ὅλως τοῦτο τολμῶσι φθέγξασθαι. ἔτι δὲ πρὸς τοῦτο μὴ παρὸν πλέον, πῶς φατὲ ἐκπορεύεσθαι ἐκ τοῦ υἱοῦ; πάντως ἂν εἴποιτε μεγάλῃ τῇ φωνῇ καὶ διαπρυσίως, ὅτι ἀμέσως, καὶ προσεχῶς, καὶ οὐ πόῤῥω. πῶς δὲ φατὲ ἐκπορεύεσθαι ἐκ πατρὸς; πάντως ἂν εἴποιτε καὶ ἐνταῦθα, οὐκ ἀμέσως, καὶ πόῤῥω, καὶ οὐ προσεχῶς. εἶτα εἰ οὖν τοσαύτην διαφορὰν αὐτοὶ ὁμολογῆτε διαφέρειν τὴν ἐκ τοῦ υἱοῦ, τοῦ πνεύματος ἐκπόρευσιν, τῆς

Κύριλ. » ἐκ τοῦ πατρὸς ἐκπορεύσεως. φησὶ γὰρ καὶ ὁ θεῖος Κύριλλος, προχεῖται » παρὰ τοῦ υἱοῦ, καθάπερ ἀμέλει καὶ ἐκ πατρὸς. εἰ ταυτὸν τὸ προχεῖσθαι, τῷ ἐκπορεύεσθαι (καθ' ὑμᾶς) πάντως ἢ οὗτος ψεύδεται φάσκων, οὕτως ἐκ τοῦ υἱοῦ, καθάπερ καὶ ἐκ πατρὸς, ἀληθεύετε δὲ αὐτοὶ, λέγοντες, οὐχ

οὕτως,

οὕτως, ἀλλ' ἑτέρως μὲν ἐξ υἱοῦ, ἑτέρως δὲ ἐκ πατρός. ἢ ἀληθεύειν ὁ θεῖος Κύριλλος, ψεύδεσθε δὲ πάντως αὐτοί· ἀντίκειται γὰρ ἀντιφατικῶς ταῦτα. τὸ γὰρ λέγειν, οὕτως ἐκπορεύεται ἐκ τοῦ υἱοῦ, καθάπερ καὶ ἐκ πατρός, τὸ λέγειν οὐχ οὕτως ἐκπορεύεται ἐκ τοῦ υἱοῦ, καθάπερ καὶ ἐκ πατρός, ἀλλ' ἑτέρως μὲν ἐκ πατρός, ἑτέρως δὲ ἐκ τοῦ υἱοῦ· ἀντίκεινται πάντως ἀντιφατικῶς, ὅτι καὶ μετὰ τρόπου ἀντιπεριστάσεις αὗται προφέρονται· καὶ ἀνάγκη, τὴν μὲν ἀληθεύειν, τὴν δὲ ψεύδεσθαι· τὸ γὰρ καθάπερ, καὶ τὸ ἑτέρως, καὶ τὸ οὐ καθάπερ, τρόποι πάντως εἰσὶν, ὡς οἱ περὶ ταῦτα σοφοὶ διδάσκουσι· καὶ οὕτως ὃν εἰς βεβαίωσιν τῆς ὑμετέρας προβάλλεσθε δόξης, εὑρίσκεται καταλύων ταύτην ῥιζόθεν. εἰ δὲ ταῦτα μὲν ἀσύμβατα, (ὥσπερ δῆτα καὶ ἐστὶν) οὐκ ἄρα τὸ ἐκπορεύεσθαι χρὴ λέγειν ταὐτὸν, τῷ προχεῖσθαι. διότι οὐδὲ ὁ θεῖος φησὶ Κύριλλος, ἐκπορεύεται ἐκ τοῦ υἱοῦ, καθάπερ καὶ ἐκ πατρός, ἀλλὰ προχεῖται, ἤγουν ἀπὸ πηγῆς πλουσίως πηγάζεται πάσῃ τῇ κτίσει, ἡ θεία ἔλλαμψίς τε καὶ χάρις καὶ ἐνέργεια τοῦ παναγίου πνεύματος· ὅρα κατὰ τοῦ Ἀκινδύνου. πηγὴ γὰρ ταύτης ἡ ὑπερούσιος καὶ θεία Τριάς. καὶ γὰρ ἐπίσης, καὶ ταυτῶς, καὶ ἀμερῶς, καὶ ὁλικῶς. ἐκ τῆς ὑπερουσίου ὑπερεκχεῖται Τριάδος, ὅλη ἐκ πατρός, ὅλη ἐξ υἱοῦ. ὅλη ἐξ αὐτοῦ τοῦ παρακλήτου Θεοῦ. διαιρέσεις γὰρ φησὶ „ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ „ αὐτὸς Κύριος. καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάν„ τα ἐν πᾶσι· λέγεται δὲ καὶ ἰδιοτρόπως μόνος ὁ πατὴρ πηγὴ τῶν δύο ὑποστάσεων, τοῦτ' ἐστὶ υἱοῦ καὶ τοῦ παναγίου πνεύματος, ὡς αἴτιος αὐτῶν προσεχῶς καὶ ἀμέσως. πηγαία γὰρ θεότης ἐστὶν ὁ πατὴρ, φησὶν ὁ πολὺς τὰ θεῖα, „ καὶ ἱεροτελεστὴς Διονύσιος.

Παῦλ. πρὸς Κορ. α. κεφ. ιβ.

Διονυσ.

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δὲ ἐστὶ τὸ χορηγούμενον ἡμῖν διὰ τοῦ υἱοῦ; ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς ὁ παράκλητος, ἤγουν αὐτὴ ἡ οὐσία καὶ ὑπόστασις τοῦ παναγίου πνεύματος, ἢ ἡ θεία χάρις αὐτοῦ καὶ ἐνέργεια; καὶ γὰρ ἄνωθεν ἔφης τὴν θείαν χάριν, καὶ τὴν ἐνέργειαν τοῦ παναγίου πνεύματος, χορηγεῖσθαι ἡμῖν διὰ τοῦ υἱοῦ· εἰπὼν, τὸ προέρχεσθαι, ὃ οὐδὲν ἄλλο σημαίνει, ἢ τὸ

χορηγεῖσθαι τὴν θείαν χάριν καὶ τὴν ἐνέργειαν τοῦ παναγίου πνεύματος, ὡσαύτως καὶ νῦν πάλιν ἔφης ὡς ἀπὸ πηγῆς τοῦ υἱοῦ, πλουσίως πηγάζεται πάσῃ τῇ κτίσει ἡ θεία ἔλλαμψίς τε καὶ χάρις καὶ ἐνέργεια τοῦ παναγίου Κύριλλ. » πνεύματος· νῦν δ᾽ αὖθις τὸν θεῖον ἐπεισάγεις Κύριλλον λέγοντα, ἐκπο» ρεύεσθαι μὲν τὸ πνεῦμα ἐκ τοῦ Θεοῦ καὶ πατρός, χορηγεῖσθαι δὲ τῇ κτίσει διὰ τοῦ υἱοῦ. εἰ οὖν τὸ ἐκπορευόμενον ἐκ τοῦ πατρός, τοῦτο ἐστὶ καὶ τὸ χορηγούμενον τῇ κτίσει διὰ τοῦ υἱοῦ: ἐκπορεύεται δὲ ἐκ τοῦ Θεοῦ, καὶ πατρὸς ὁ εἷς τῆς ἁγίας Τριάδος Θεός, ὁ παράκλητος. ἤγουν αὐτὴ ἡ ὑπερούσιος οὐσία καὶ ὑπόστασις τοῦ παναγίου πνεύματος, δῆλον ὅτι ἡ αὐτὴ χορηγεῖται τῇ κτίσει διὰ τοῦ υἱοῦ, καὶ οὐχὶ ἡ χάρις μόνον. εἰ δὲ ἡ χάρις μόνον καὶ ἡ ἐνέργεια χορηγεῖται τῇ κτίσει διὰ τοῦ υἱοῦ. ἡ αὐτὴ ἄρα καὶ ἐκπορεύεται ἐκ τοῦ πατρός· τὸ γὰρ αὐτό φησιν ὁ θεῖος Κύριλλος χορηγεῖσθαι τῇ κτίσει διὰ τοῦ υἱοῦ· ὃ καὶ ἐκ τοῦ πατρὸς ἐκπορεύεται.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ὅτι τὸ χορηγούμενον ἡμῖν πνεῦμα ἅγιον, ἡ θεία χάρις ἐστὶ, καὶ οὐχ ἡ ὕπαρξις τοῦ παναγίου πνεύματος.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Οὐκ ἔστιν ὦ οὗτος ληπτὴ ἡμῖν ἡ θεία οὐσία. εἰ γὰρ ἑξαπτέρυγα σεραφίμ, οὐ στέγουσιν ὅλως φέρειν τὴν ἐκ τῆς θείας φύσεως ἐκπεμπομένην αἴγλην τε καὶ λαμπρότητα, πῶς ἔχετε λόγον λέγοντες δεκτικὴν εἶναι ὅλως τὴν ὑλαίαν καὶ ἐπίκηρον ἡμετέραν φύσιν, αὐτῆς τῆς θείας οὐσίας; ἅπαξ ἡμῖν τοῦτο κεχάρισται, ἐν τῇ ἀρρήτῳ καὶ ἀκαταλήπτῳ καὶ ὑπὲρ φύσιν ἑνώσει τοῦ Θεοῦ λόγου, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐδοκίᾳ πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου πνεύματος. καὶ ἰδοὺ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δύο φέρων ἐν ἑαυτῷ οὐσίας, θεότητα καὶ ἀνθρωπότητα. ἡμῖν δὲ τοῖς κρείττοσι χορηγεῖται, οὐχ ἡ τοῦ παναγίου πνεύματος οὐσία τε καὶ ὑπόστασις, (οὐ δὲ γὰρ ληπτὴ ἡ θεία οὐσία καὶ μεριστὴ καὶ ποικιλλομένη.

ἁπλῆ

ἁπλῆ γάρ ἐστιν αὕτη καὶ παντὶ ἄσχετος καὶ ἀμέθεκτος) ἀλλ' ἡ ἐκεῖθεν ἐκ-
πεμπομένη θεία καὶ ἀγαθοποιὸς καὶ ἑνιαία αἴγλη τε καὶ χάρις καὶ ἐνέργεια τοῦ
παναγίου πνεύματος, ἡ ἁπλῶς, καὶ ἀμερῶς, καὶ ταυτῶς, καὶ ὁλικῶς, καὶ
ἑνιαίως, ἀεὶ πηγαζομένη ἐκ τῆς ὑπερθέου μιᾶς τρισυποστάτου φύσεως, καὶ
ταύτην ποικιλλομένην, καὶ κατακερματιζομένην, ἐν μεριστοῖς ἀμερίστως·
κατὰ γὰρ τὸ μέτρον ἑκάστου τῆς ἀρετῆς, οἱ κρείττονες ἐπισπῶνται· καὶ οἱ
μὲν μᾶλλον, οἱ δὲ ἧττον ταύτην εἰσδέχονται. καὶ θεοὶ ἐξ αὐτῆς, κατὰ χάριν
καὶ μέθεξιν, χρηματίζουσι. καὶ ταύτην τοίνυν τὴν θείαν αἴγλην καὶ χά-
ριν, ἐνέργειάν τε καὶ δωρεὰν τοῦ παναγίου πνεύματος, πνεῦμα ἅγιον αἱ θεῖαι
γραφαὶ κατονομάζουσιν. ἀλλὰ δὴ καὶ θεότητα, καὶ Θεὸν, καὶ θεοποιόν· ἐπὶ
γὰρ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως, τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέ- ,, Βασίλ.
χεται καὶ ἡ ἐνέργεια, φησὶν ὁ θεῖος Βασίλειος ἐν τοῖς ἀντιῤῥητικοῖς. ἐπεὶ ,,
καὶ ἥλιον φαμὲν, οὐ μόνον αὐτὸν τὸν ἡλιακὸν δίσκον, ἀλλὰ καὶ τὴν ἐ-
κεῖθεν ἐκπεμπομένην αἴγλην τε καὶ ἐνέργειαν. ὅτι δὲ θεότητα, καὶ ἀγα-
θοποιὸν καὶ δημιουργὸν τοῦ παντὸς φασὶν αἱ θεῖαι γραφαὶ, τὴν θείαν ταύ-
την χάριν ἐνέργειάν τε καὶ δωρεὰν, τὴν ἐκ τῆς ὑπερουσίου Τριάδος
προερχομένην, μάρτυς καὶ ὁ ἀρεοπαγίτης θεῖος Διονύσιος· καὶ ὁ Δαμα-
σκηνὸς θεῖος Ἰωάννης· ὁ μὲν γὰρ εἰς τὸ περὶ θείων ὀνομάτων οὕτω φη-
σίν· οὐκ ἐναντιολογοῦσιν οἱ ποτὲ μὲν λέγοντες τὸν Θεὸν, αὐτουσίαν, καὶ ,, Διονυσ.
αὐτοζωὴν, καὶ αὐτοδύναμιν, καὶ αὐτοειρήνην, καὶ τὰ τοιαῦτα. ποτὲ ,,
δὲ λέγοντες αὐτὸν, ὑποστάτην, καὶ δημιουργὸν, αὐτουσίας, καὶ αὐτοζωῆς, ,,
καὶ αὐτοδυνάμεως, καὶ αὐτοειρήνης, καὶ τῶν τοιούτων· τὰ μὲν γὰρ ὀνο- ,,
μάζεται ἐκ τῶν ὄντων, καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος αὐ- ,,
τῶν· τὰ δὲ ὑπεροχικῶς, ὡς ὑπὲρ τὰ πάντα καὶ τὰ πρώτως ὄντα. αὐ- ,,
τουσίαν τε, καὶ αὐτοζωὴν, καὶ αὐτοδύναμιν, καὶ αὐτοειρήνην, καὶ τὰ ,,
τοιαῦτα· λέγομεν θεϊκῶς μὲν καὶ αἰτιατικῶς, τὴν μὲν πάντως ὑπεράρ- ,,
χιον, ἀρχὴν καὶ αἰτίαν· μεθεκτικῶς δὲ, τὰς ἐκ διδομένας ἐκ Θεοῦ μεθέξεις, ,,
τὴν αὐτουσίωσιν, τὴν αὐτοζώωσιν, τὴν αὐτοδυνάμωσιν, τὴν αὐτοει- ,,
ρήνευσιν, καὶ πρώτως ἐκ Θεοῦ ὑποστῆναι λέγομεν· τινὲς δὲ τῶν Ἱεροδι- ,,
δασκάλων, καὶ τῆς αὐταγαθότητος, καὶ τῆς θεότητος. ὑποστάτην φασὶ

τὸν ὑπεράγαθον καὶ ὑπέρθεον Θεὸν, αὐταγαθότητα καὶ θεότητα λέγοντες, τὴν ἐκ Θεοῦ περιερχομένην ἀγαθοποιὸν καὶ θεοποιὸν μέθεξιν καὶ δωρεάν. ὁ δέ γε Δαμασκηνὸς θεῖος Ἰωάννης ἐν ιδ. Κεφαλαίῳ περὶ τῶν ἰδιωμά-

Δαμασ.

» των τῆς θείας φύσεως, καὶ αὐτὸς οὕτω φησίν· ὅτι ἡ θεία ἔλλαμψις καὶ ἐνέργεια μία οὖσα, καὶ ἁπλῆ, καὶ ἀμερὴς, καὶ ἀγαθοποιὸς, ἐν τοῖς μεριστοῖς ποικιλλομένη, καὶ τούτων πᾶσι τὰ τῆς οἰκείας φύσεως συστατικὰ νέμουσα, μένει ἁπλῆ, πληθυνομένη ἐν τοῖς μεριστοῖς ἀμερίστως, καὶ τὰ μεριστὰ πρὸς τὴν ἑαυτῆς ἁπλότητα συνάγουσα καὶ ἐπιστρέφουσα. πάντα γὰρ αὐτῆς ἐφίεται, καὶ ἐν αὐτῇ ἔχει τὴν ὕπαρξιν, καὶ αὐτὴ τοῖς πᾶσι τὸ εἶναι, καθὼς ἔχει φύσεως, μεταδίδωσι, καὶ αὐτὴ ἐστὶ τῶν ὄντων τὸ εἶναι· καὶ τῶν ζώντων ὁ λόγος, καὶ τῶν νοερῶν ὄντων ἡ νόησις. αὐτὴ ὑπὲρ νοῦν οὖσα, καὶ ὑπὲρ λόγον, καὶ ὑπὲρ ζωὴν, καὶ ὑπὲρ οὐσίαν. ταύτην τοίνυν τὴν ἀγαθοποιὸν, καὶ μεταδοτικὴν ἀγαθότητος θείαν αἴγλην τε καὶ ἐνέργειαν τοῦ παναγίου πνεύματος, τὴν καὶ πνεῦμα ἅγιον ὠνομασμένην, οἱ θεῖοι φασὶ πατέρες χορηγεῖσθαι ἡμῖν, καὶ ταύτην κατὰ τὴν δεκτικὴν ἑκάστου δύναμιν φυσικὴν, ἢ προαιρετικήν. χορηγεῖται τοίνυν τῇ κτίσει, εἴτ' οὖν τοῖς ἀξίοις, διὰ τοῦ υἱοῦ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα ἅγιον, καὶ ἐνσκηνοῖ ἐν αὐτοῖς. ἀλλὰ δὴ καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς, καθὼς αὐτὸς ὁ Κύ-

Ἰωαν. ιδ.

» ριος λέγει, ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν ἐν αὐτῷ ποιησόμεθα. καὶ διὰ τοῦ προφήτου, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω,

Λευιτ. κ.

ἀλλ' οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατὰ τὴν μετάδωσιν τῶν θείων χαρισμάτων. κατὰ γὰρ τὴν μέθεξιν καὶ δωρεὰν τῆς θείας χάριτος, ἐνσκηνοῖ τοῖς δικαίοις, ὥσπερ ὁ πατὴρ καὶ ὁ υἱὸς, οὕτω καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον, ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς ὁ παράκλητος· ἀλλ' οὐ καθ' ὑπόστασιν ὡς ἔφημεν, οὐ δὲ κατὰ τὴν ἀφθέγκτον καὶ ἀνώνυμον καὶ ἀμέθεκτον ὕπαρξιν, μεθεκτικῶς δὲ κατὰ τὴν μετάδωσιν ὡς ἔφημεν τῶν θείων χαρισμάτων· κατὰ τὸ τοῦ αἰσθητοῦ ἡλίου παράδειγμα. καὶ γὰρ καὶ ἀμέθεκτος ἡμῶν ἐστὶ, κατὰ τὸν δίσκον, διὰ τὸ ὕψος, καὶ μεθεκτὸς ταῖς ἀκτῖσιν, ὡς καὶ ὁ ἀρεοπαγίτης

Διονυσ.

» θεῖος φησὶ Διονύσιος. ὅτι ὁ Θεὸς καὶ ὑφ' ἑκάστου τῶν μετεχόντων ὅλως μετέχεται, καὶ ὑπ' οὐδενὸς ἐν οὐδενὶ μέρει, καθάπερ κέντρον ἐν μέσῳ κύ-

κλου,

κλου, πρὸς πασῶν τῶν ἐν τῷ κύκλῳ περικειμένων εὐθειῶν. καὶ ὥσπερ σφραγῖδος ἐντυπώματα, πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος, καὶ ἑκάστῳ τῶν ἐκτυπωμάτων ὅλως καὶ ταύτης οὔσης, καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος. ὑπέρκειται δὲ καὶ τούτων ἡ τῆς παναιτίου θεότητος ἀμεθεξία, τῷ μήτε ἐπαφὴν αὐτῆς εἶναι, μήτε ἄλλην τινὰ πρὸς τὰ μετέχοντα συμμιγῆ κοινωνίαν. ἀκολούθως καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς φησίν. ὥσπερ τοῦ ἡλίου ἡ ἀκτὶς καὶ τὸ φῶς, οὔτε τοῦ ἡλίου χωριζόμενα, οὔτε ἀλλήλων ὑποδιαιρούμενα κατὰ πᾶσι καὶ μέχρις ἡμῶν, οὕτω καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα, ἀδιαστάτως ἐκ τοῦ πατρὸς καὶ ἀλλήλων, ἄχρις ἡμῶν συγκαταβαίνουσιν, ἐνεργοῦντες τὴν σωτηρίαν ἡμῶν. καὶ καθάπερ ἐπ' ἐκείνων τῇ ἀκτῖνι συμπαρομαρτοῦσα ἡ ἔλλαμψις, δι' ἐκείνης ἡμῖν μεταδίδοται, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον τῷ υἱῷ συμπαρομαρτοῦν, δι' ἐκείνου μεταδίδοται τοῖς ἀξίοις, κατὰ τὴν μετάδοσιν τῶν χαρισμάτων. ἐνεφύσησε γὰρ φησὶ καὶ εἶπε, λάβετε πνεῦμα ἅγιον. καὶ ὥσπερ ἐπ' ἐκείνων φῶς λέγεται, καὶ ἡλίου, καὶ ἀκτῖνος, οὕτω καὶ ἐπὶ τούτων, πνεῦμα λέγεται, καὶ πατρὸς, καὶ υἱοῦ. διὰ γὰρ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ τοῖς ἀξίοις ἐπιχορηγεῖται, καὶ δεκτικοὶ εἰσὶν οὗτοι, τούτου δὲ τοῦ παναγίου πνεύματος, καὶ οὐκ αὐτῆς τῆς θείας οὐσίας καὶ ὑποστάσεως τοῦ παρακλήτου Θεοῦ, τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος. εἰ γὰρ τοῦτο ἦν, ἔμελλε μετὰ τῶν ἄλλων ἀτοπημάτων, καὶ ἕκαστον τῶν δεκτικῶν τούτου δὲ τοῦ πνεύματος λέγειν, δύο ἐν ἑαυτῷ φέρειν οὐσίας, θεότητά τε, καὶ ἀνθρωπότητα, καὶ θεάνθρωπον ἕκαστον χρηματίζειν, καὶ τούτων ἕως μηδὲν πλέον τὸν Σωτῆρα Χριστὸν ἔχειν πρὸς τούτοις καὶ ποικιλλομένην εἶναι καὶ μεριστὴν τὴν θείαν οὐσίαν, καὶ μᾶλλον καὶ ἧττον ὑπάρχειν ἐν τοῖς ὑποδεχομένοις αὐτόν. ὁρᾷς εἰς ὅσον ἀτοπίας παρασύρει, τὸ λέγειν, τὸ ἐκ τοῦ υἱοῦ χορηγούμενον ἡμῖν πνεῦμα, ἡ τοῦ παναγίου πνεύματος ἐστὶν οὐσία καὶ ὑπόστασις, καὶ οὐκ αὐτὴ ἡ θεία χάρις καὶ ἡ ἐνέργεια τοῦ παναγίου πνεύματος;

Δαμασ.

Ἰωάν.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Τί δὲ οὐκ ἦν ἡ ὑπόστασις τοῦ παναγίου πνεύματος, ἤγουν αὐτὸς ὁ παράκλητος, ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς, τὸ παρὰ τοῦ Σωτῆρος ἐμφυ-

σηθὲν τοῖς ἀποστόλοις πνεῦμα ἅγιον, ἀλλ᾽ ἡ τοῦ πνεύματος χάρις καὶ ἐνέργεια; ἡμεῖς γὰρ αὐτὸ φαμὲν εἶναι τέλειον τὸ πνεῦμα τὸ ἅγιον, τὸ παρὰ τοῦ Σωτῆρος τοῖς ἀποστόλοις ἐμφυσηθέν· τὸ καὶ εἰς ὃ βεβαπτίσμεθα. ὃ καὶ κατὰ τὴν πεντηκοστὴν, ἐπεφοίτησε τοῖς ἀποστόλοις. καὶ ἄλλο οὐδέν.

ΚΕΦΑΛΑΙΟΝ ια.

Ὅτι τὸ παρὰ τοῦ Σωτῆρος ἐμφυσηθὲν τοῖς ἀποστόλοις πνεῦμα ἅγιον, ἡ θεία χάρις ἦν, καὶ οὐκ αὐτὴ ἡ ὑπόστασις τοῦ παναγίου πνεύματος.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ᾽ οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν ὦ οὗτοι· εἰ γὰρ ἦν ὁ παράκλητος Θεὸς, τὸ παρὰ τοῦ Σωτῆρος τοῖς ἀποστόλοις ἐμφυσηθὲν πνεῦμα ἅγιον, περιττὴ πάντως ἐτύγχανεν ἡ ἐν τῇ πεντηκοστῇ αὐτοῦ κάθοδος, προαπαρ-
τισθέντος διὰ τοῦ ἐμφυσήματος ὅλου τοῦ μυστηρίου, καὶ μὴ δεομένου τοῦ
Ἰωαν. ιϛ. » λείποντος. Τί δὲ ὁ Σωτὴρ ἔλεγεν, ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος
» οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. εἰ πρὸ τοῦ ἀναληφθῆναι αὐτὸς ἐνταῦθα παρὼν, ἔμελε δοῦναι τοῖς ἀποστόλοις αὐτὸν τὸν παράκλητον Θεὸν τὸ πνεῦμα τὸ ἅγιον; Τί δὲ μετὰ τὸ ἐμφυσῆσαι ἀναλαμβανόμενος πάλιν ἔλεγε τοῖς
Λουκ. κδ. » ἑαυτοῦ μαθηταῖς, ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου
» ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους, ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ᾽ ὑμᾶς; εἰ ἅπαν ἦν τὸ ἐμφυσηθὲν ἐκεῖνο καὶ τέλειον, πῶς ἀκμὴν ἐδέοντο τῆς ἐξ ὕψους δυνάμεως, καὶ τῆς τοῦ παρακλήτου Θεοῦ τοῦ ἁγίου πνεύματος ἐπελεύσεως; ἀλλ᾽ ὥσπερ ὁ υἱὸς ἐνδημήσας ἐνεφανίσθη ἡμῖν, καὶ τὴν ἡμετέραν εἰργάσατο σωτηρίαν, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον αὐτὸς ὁ παράκλητος Θεὸς, κατελθὼν μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον, ἐνεφανίσθη τοῖς ἀποστόλοις καὶ τὴν κατὰ τοῦ τυράννου δύναμιν, καὶ τὸν ἁγιασμὸν, αὐτοῖς ἐδωρήσατο. ὡς καὶ ὁ θεολό-
Γρηγορ. » γος φησὶ Γρηγόριος, ἐν τῷ εἰς τὴν πεντεκοστὴν λόγῳ· ἔπρεπε γὰρ υἱοῦ
» σωματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σωματικῶς, καὶ Χριστοῦ

πρὸς

πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν. καὶ πάλιν. διὰ »
τοῦτο μετὰ Χριστὸν, ἵνα παράκλητος ἡμῖν μὴ λείπῃ, καὶ οὕτω κἀντεῦθεν »
ἐγνωρίσθη ἡ ὑπερούσιος Τριάς. ἐν μὲν τῇ παλαιᾷ, ὁ πατὴρ (εἰ καὶ μὴ ὡς »
πατὴρ, ἀλλ' οὖν ὡς Θεὸς) ἐν δὲ τῇ ἐνσάρκῳ οἰκονομίᾳ, ὁ υἱός. μετὰ δὲ »
τὴν τοῦ Σωτῆρος ἀνάληψιν, τὸ πνεῦμα τὸ ἅγιον. καὶ τοῦτο ἡ ἐπαγγελία »
τοῦ πατρὸς, ἤγουν ὁ προορισμὸς τοῦ ἐμφανισθῆναι καὶ γνωσθῆναι ἡμῖν τὴν »
ὑπερούσιον Τριάδα, διὰ τῆς ἑκάστου ἐνδημίας καὶ παρουσίας, καθὼς ὁ Σω-
τὴρ ἔφη, ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς. » Λουκ. κδ.
καὶ ὥσπερ περὶ τοῦ υἱοῦ ἔφη ὁ Δαβὶδ, ἐξαπέστειλε τὸν λόγον αὐτοῦ, καὶ » ψαλ. ρζ.
ἰάσατο αὐτοὺς, οὕτω καὶ περὶ τοῦ παρακλήτου Θεοῦ τοῦ παναγίου πνεύμα- »
τος ἔφη, ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται. ἐν τούτοις γὰρ δεί- » ψαλ. ργ.
κνυσιν οὐ μόνον τὴν κατὰ διαφόρους ἐπέλευσιν καὶ παρουσίαν τοῦ τε υἱοῦ καὶ τοῦ
παναγίου πνεύματος. (κατὰ γὰρ ἄλλον καιρὸν γέγονεν ἡ τοῦ υἱοῦ παρουσία,
καθ' ἕτερον ἡ τοῦ πνεύματος) ἀλλὰ δὲ καὶ τὸ ὁμότιμον τούτων καὶ τὸ ταὐ-
τὸν τῆς ἀξίας. ἐν μὲν γὰρ ταῖς ἄλλαις γραφικαῖς μαρτυρίαις ὁ υἱὸς
κηρύττεται δημιουργὸς, τὸ δὲ πνεῦμα τὸ ἅγιον τελειοποιοῦν, εἴτ' οὖν ἁ-
γιαστικόν, ὡς καὶ ὁ θεῖος Βασίλειος· ἐννόησόν μοι τὴν προκαταρκτι- » Βασίλ.
κὴν αἰτίαν τῶν γινομένων, τὸν πατέρα· τὴν δημιουργικὴν, τὸν υἱόν· τὴν »
τελειωτικὴν, τὸ πνεῦμα τὸ ἅγιον. τελείωσις δὲ, ὁ ἁγιασμὸς καὶ ἡ ἐν τού- »
τῳ διαμονή. τρία τοίνυν ἐννοεῖς. τὸν προστάττοντα Κύριον· τὸν δημι-
ουργοῦντα λόγον· καὶ τὸν στερεοῦντα τὸ πνεῦμα: τί δ' ἂν ἄλλο εἴη στερέω-
σις, ἢ ἡ κατὰ τὸν ἁγιασμὸν τελείωσις; ἐν ταῦθα δὲ ἐναλλὰξ ὁ προφή-
της φησί· τὸν μὲν υἱὸν ἰόντα, τὸν δὲ παράκλητον Θεὸν κτίζοντα, ὡς καὶ
ἐν τῷ Ἰὼβ, πνεῦμα θεῖον τὸ ποιῆσάν με. διὸ καὶ ὁ θεολόγος φησί, τοῦτο » Ἰὼβ. λγ.
τὸ πνεῦμα, συνδημιουργεῖ μὲν υἱῷ τὴν κτίσιν καὶ τὴν ἀνάστασιν. δείκ- » Γρηγ. θεο.
νυται γὰρ φησὶν ἐκ τούτων, ὅτι οὐ συντετηρημένως ἀεὶ λαμβάνεται ἐπὶ
τοῦ υἱοῦ, ἐπὶ δὲ τοῦ παναγίου πνεύματος τὸ ἰᾶσθαι· ἀλλ' ἔστιν ὅτε καὶ με-
ταπίπτουσι τῶν ἐνεργειῶν ταῦτα τὰ ὀνόματα. ὥσπερ καὶ αἱ προθέσεις,
καὶ αἱ τάξεις τῶν ὀνομάτων. οὐ μόνον ἵνα δειχθῇ τὸ ταὐτὸν τῆς ἐνεργείας
ἐκ τούτου, ἀλλὰ καὶ τὸ ταὐτὸν τῆς ἀξίας. ὡς καὶ πάλιν ὁ θεῖος φησὶ Βα-

σίλειος

Βασίλ. σίλειος. οὐ μόνον δὲ ἐπὶ τῆς θεολογίας αἱ χρήσεις τῶν φωνῶν ὑπαλλάσσονται, ἀλλ' ἤδη καὶ τὰ ὑπ' ἀλλήλων σημαινόμενα, πολλάκις ἀντιμεθίστανται, ὅταν ἑτέρα, τὴν τῆς ἑτέρας σημασίαν ἀντιλαμβάνῃ. ὅτι δὲ κατὰ καιροὺς τρεῖς, διὰ τῆς ἑκάστου ἐνδημίας καὶ παρουσίας ἐγνώσθη ἡμῖν ἡ θεία Τριάς, πιστοῦται μετὰ τῶν ἄλλων πατέρων, καὶ ὁ θεολόγος Γρη- *Γρηγ. θεο.* γόριος, ἐν τῷ περὶ υἱοῦ .α. λόγῳ, οὑτωσὶ φάσκων· διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι τριάδος ἔστη. καὶ τοῦτό ἐστιν ἡμῖν, ὁ πατὴρ, ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα. μονὰς ἔφη ἀπ' ἀρχῆς, τῆς ἐν τῇ παλαιᾷ θεογνωσίας δηλονότι. ἐν γὰρ τῇ παλαιᾷ (ὡς ἔφημεν) ἐγνώσθη ἡμῖν ὁ πατὴρ, εἰ καὶ μὴ ὡς πατὴρ, ἀλλ' οὖν ὡς Θεός. εἰς δυάδα κινηθεῖσα, ἤγουν γνωσθεῖσα. ἐν γὰρ τῇ ἐν σάρκῳ οἰκονομίᾳ, ἐγνώσθη ἡμῖν καὶ ὁ υἱός. καὶ τὴν δυὰς ἀκμὴν τὸ γνωσθὲν, μέχρι τριάδος ἔστη. ἐν γὰρ τῇ ἐπελεύσει τοῦ παρακλήτου Θεοῦ, ἐγνώσθη ἡμῖν τελεία, ἡ ὑπερούσιος Τριάς. καὶ οὐδαμῶς περαιτέρω προέβη. ἔπρεπε γὰρ ὥσπερ ἐν τῇ παλαιᾷ διαθήκῃ, ἐγνώσθη ἡμῖν ὁ πατὴρ, μετὰ δὲ τὸν πατέρα, καὶ ὁ υἱὸς, ἐν τῇ ἐν σάρκῳ αὐτοῦ παρουσίᾳ, οὕτω καὶ μετὰ τὴν τοῦ υἱοῦ ἀνάληψιν, αὐτὸς ὁ παράκλητος Θεὸς τὸ πνεῦμα τὸ ἅγιον. ὅτι δὲ τὸ παρὰ τοῦ Σωτῆρος τοῖς ἀποστόλοις ἐμφυσηθὲν πνεῦμα ἅγιον, χάρισμα πνευματικὸν ἦν, καὶ οὐκ αὐτὸς ὁ παράκλητος Θεὸς τὸ πνεῦμα τὸ ἅγιον, ὁ εἷς τῆς ἁγίας Τριάδος, *Ἰωάν. κ.* καὶ ἐκ τοῦ ἐπαγομένου δῆλον. εἰπὼν γὰρ ὁ Σωτὴρ, λάβετε πνεῦμα ἅγιον, ἐπήγαγεν, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. χάρισμα γὰρ ἀκμὴν δέδωκεν αὐτοῖς τοῦ δεσμεῖν τε καὶ λύειν τὰς ἁμαρτίας. ἅμα δὲ καὶ δεκτικοὺς, καὶ εἰς ὑποδοχὴν ἑτοίμους καὶ ἐπιτηδείους, καὶ τῶν τελεωτέρων χαρισμάτων πεποίηκε τούτους. ὁ γὰρ παράκλητος Θεὸς κατελθὼν, κατεμέρισε τούτοις, καὶ τὰ τελεώτερα τοῦ δεσμεῖν τε καὶ λύειν χαρίσματα. τό τε γὰρ καὶ ὡς ἐν εἴδει πυρίνων γλωσσῶν, τὴν δύναμιν τοῦ μυστικοῦ λόγου τῶν ἐν τοῖς ἔθνεσι διαφόρων γλωσσῶν ἐδέξαντο· ἐπεὶ δὲ πρὸς τὸ κηρύττειν ἔμελλον ἐξελθεῖν, τότε καὶ τὴν τῶν μελλόντων γνῶσιν ἐδέξαντο τὸ προφητικὸν χάρισμα· τὰ γὰρ ἐρχόμενα εἴτ' οὖν τὰ μέλλοντα παρὰ τοῦ πνεύματος

αὐτοῖς

αὐτοῖς ἐπηγγέλθη· τότε καὶ ὁ Πέτρος ζωῆς καὶ θανάτου ἐχρημάτισε· καὶ
μάρτυς τοῦ μὲν θανάτου, Σαπφείρα καὶ Ἀνανίας, τῆς δὲ ζωῆς, ὁ διὰ μό-
νης τῆς τούτου σκιᾶς ἐγηγερμένος νεκρός· ὅτι δὲ τῶν χαρισμάτων ἦν ἕν, τὸ
παρὰ τοῦ Σωτῆρος ἐμφυσηθὲν τοῖς ἀποστόλοις πνεῦμα ἅγιον, καὶ οὐκ αὐ-
τὸς ὁ εἷς τῆς ὑπερουσίου Τριάδος Θεὸς ὁ παράκλητος, μαρτυροῦσι καὶ πάν-
τες οἱ θεῖοι πατέρες, ὅ, τε μέγας Βασίλειος ἐν πολλοῖς, ἀλλὰ δὴ καὶ ἐν τοῖς
πρὸς Ἀμφιλόχιον τριάκοντα αὐτοῦ κεφαλαίοις οὕτω φησίν, ἀνακαινίζων „ Βασίλ.
γὰρ τὸν Ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος „
τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδοὺς ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθη- „
τῶν, τί φησί; λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀ- „ Ἰωάν. κ.
φίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται· ὡσαύτως καὶ ὁ θεῖος Χρυ- „ Χρυσόσ.
σόστομος, ἐν διαφόροις αὐτοῦ λόγοις λέγει, ἀνελθὼν εἰς οὐρανοὺς, πνεύμα- „ τόμ. ζ.
τος ἁγίου ἐχαρίσατο χάριν ἄφατον. ἀλλὰ δὴ καὶ ὁ ἐν Ἱεροσολύμοις θεῖος „ φυλ. ιδ.
Κύριλλος ἐν τοῖς περὶ τῶν φωτιζομένων αὐτοῦ λόγοις, ἐν οἷς ἐξηγεῖται, „ Κυρ. Ἱερ.
καὶ τὸ ἀνέβη ὁ ἐμφυσῶν. ἀκολούθως καὶ ὁ Ἀλεξανδρείας Κύριλλος, καὶ ἐν ἄλ-
λοις μὲν αὐτοῦ λόγοις, ἀλλὰ δὴ καὶ ἐν τοῖς πρὸς Ἑρμείαν λόγοις οὕτω φη-
σιν· εἶτα πῶς ὁ βεβαπτισμένος εἰς τὴν ἐμφανῆ τοῦ πνεύματος λαβὼν κατα- „ Κυρ. Ἀλ.
φοίτησιν ἐν ἁγίῳ πνεύματι βαπτίζει. καὶ τὰ μόνῃ πρέποντα καὶ ἐοικότα „
τῇ θείᾳ φύσει ποιεῖ, χορηγὸς γάρ ἐστιν ἁγιασμοῦ, καὶ τοῦτο δεικνὺς, ὡς „
ἴδιον ἀγαθὸν ὁ ἐνανθρωπήσας λόγος σωματικῶς, ἐνεφύσησε τοῖς ἁγίοις Ἀ- „
ποστόλοις λέγων, λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀ- „ Ἰωάν. κ.
φίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. Ὁρᾷς ὅτι ἁγιασμὸν κε- „
χορήγηκε τοῖς ἀποστόλοις διὰ τοῦ θείου ἐμφυσήματος αὐτοῦ, καὶ οὐ τὸν ἕνα
τῆς Τριάδος Θεὸν τὸν παράκλητον. μετ' αὐτοὺς οὖν καὶ ὁ θεῖος Ἀναστάσιος
ὁ Σιναΐτης ὁ καὶ Πατριάρχης χρηματίσας Ἀντιοχείας. καὶ πρό γε τούτων
πάντων, ὁ τῶν Ἱερῶν γραφῶν ἐξηγητὴς ὁ Εὐσέβιος, ὧν εἰ ἐξόν σοι καὶ ταῖς
βίβλοις ἐντεύξασθαι, ἕξεις σαφῶς τὸ ζητούμενον. πρὸς τούτοις δὲ πᾶσι,
καὶ ὁ θεολόγος Γρηγόριος, ἐν τῷ εἰς τὴν πεντηκοστὴν λόγῳ οὕτω φησίν·
ἔπειτα ἐν τοῖς Χριστοῦ μαθηταῖς, καὶ τούτοις τριχῶς καθ' ὅσον οἷοί τε ἦ- „ Γρηγ. θεολ.
σαν. καὶ κατὰ καιροὺς τρεῖς· πρὶν δοξασθῆναι Χριστὸν τῷ πάθει, μετὰ τὸ „

» δοξασθῆναι τῇ ἀναστάσει, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν, ἢ ἀποκατά-
» στασιν. δηλοῖ δὲ ἡ πρώτη, τῶν νόσων καὶ τῶν πνευμάτων κάθαρσις, οὐκ
» ἄνευ πνεύματος γινομένη. καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς
» ὂν ἔμπνευσις θειοτέρα. καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν, ὃ καὶ πα-
» νηγυρίζομεν. ἀλλὰ τὸ μὲν .α. ἀμυδρῶς. τὸ δὲ .β. ἐκτυπώτερον. τὸ δὲ
» νῦν, τελεώτερον. οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς πρότερον, οὐσιωδῶς δὲ (ὡς
» ἂν εἴποι τις) συγγινόμενόν τε καὶ συμπολιτευόμενον. Ὁρᾷς κἀνταῦθα, ὅτι
ἐνέργειαν ἔφη τὸ ἐμφύσημα, διὰ τοῦ εἰπεῖν, οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς
πρότερον; Ἀλλὰ δὴ καὶ ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ οὕτω φησί, κατὰ τὴν

Ὁ αὐτός.

» διπλῆν τοῦ ἐμφυσήματος δύναμιν καὶ ποιὸν ἐκεῖθεν ἐμφυσώμενοι πάντες,
» καὶ πνεῦμα ἅγιον ὅσοι χωρητικοί, καὶ τοσοῦτον, καθ' ὅσον ἂν τὸ στόμα τῆς δια-
» νοίας ἀνοίξωμεν. τὸ γὰρ χωρητικοὺς εἶναι ἡμᾶς τοῦ πνεύματος, οὐ πάντως
τῆς ἀμεθέκτου οὐσίας τοῦ παρακλήτου Θεοῦ ἐστὶ δηλωτικόν, τῆς δὲ δυνά-
μεως αὐτοῦ δηλονότι καὶ χάριτος, ὡς φησί, κατὰ τὴν διπλῆν τοῦ ἐμφυσή-
ματος δύναμιν καὶ ποιόν· διὸ καὶ ἐπιφέρει, καθ' ὅσον ἂν τὸ στόμα τῆς δια-
νοίας ἀνοίξωμεν. κατὰ γὰρ τὸ μᾶλλον καὶ ἧττον, ἐπιδεχόμεθα ταύτην τὴν
δύναμίν τε καὶ χάριν, καθ' ὅσον διὰ καθάρσεως δεκτικὴν ποιήσωμεν τὴν
διάνοιαν· τοῦτο γὰρ τὸ καθ' ὅσον ἀνοῖξαι τὸ στόμα τῆς διανοίας, καθ' ὅσον
γὰρ καθάρωμεν αὐτὴν ἀπὸ κηλῖδος καὶ ῥύπου, κατὰ τοσοῦτον χωρητικοὶ ἐσ-
μὲν πνεύματος· οὐ μὴν καὶ ἡ θεία οὐσία μᾶλλον ἐστὶ καὶ ἧττον, (ὡς καὶ ἄνωθεν
ἔφημεν) καὶ χωρητικοὶ ταύτης ἐσμέν. εἰ δὲ τῆς θείας ἐσμὲν χωρητικοὶ χά-
ριτος, αὕτη γὰρ ἡμῖν χωρητική, κατὰ τὴν ἑκάστου δεκτικὴν δύναμιν, καὶ
οὐ τοῦ Θεοῦ ἡ οὐσία. εὑρίσκεται δὲ ἐν ταῖς τῶν πατέρων γραφαῖς, τὸ
ἐκ τοῦ υἱοῦ ἡμῖν παρεχόμενον πνεῦμα ἅγιον, τίς ἂν ὅλως εἰσδέξοιτο εἶναι
τὸ ἐκ τοῦ υἱοῦ πνεῦμα ἅγιον, τὴν τοῦ παρακλήτου Θεοῦ ὑπόστασιν τε καὶ ὕ-
παρξιν; ὥς τε κἂν πρὸς Νεστόριον, κἂν ἐν θησαυροῖς, κἂν ἐν ἄλλαις τι-
σὶ πραγματείαις, φησὶν ὁ θεῖος Κύριλλος, τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ
υἱοῦ. οὐ χρὴ οἴεσθαι ὅλως τὴν θείαν ὑπόστασίν τε καὶ ὕπαρξιν τοῦ παρακλή-
του λέγειν Θεοῦ. ἀλλὰ τὴν θείαν χάριν αὐτοῦ καὶ ἐνέργειαν. εἰ δὲ ἡ ὑπόστα-
σίς τε καὶ ὕπαρξις τοῦ παναγίου πνεύματος οὐκ ἔστιν ἐκ τοῦ υἱοῦ, πῶς ὅλως

τολμῶ-

τολμᾶτε αὐτοὶ λέγειν, ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον;

Ὁ ΛΑΤΙΝΟΣ.

Τί δέ, οὐκ ἔστιν ἀϊδίως ἐκ τοῦ υἱοῦ, τὸ ἐξ αὐτοῦ πνεῦμα; ἀλλὰ τὸ τῇ κτίσει καὶ ἡμῖν προσγινόμενον, χρὴ οἴεσθαι εἶναι τὸ ἐκ τοῦ υἱοῦ πνεῦμα; εἰ δὲ τοῦτο, προσφάτου οὔσης καὶ ὑπὸ χρόνον τῆς κτίσεως, πρόσφατον πάντως ἔσται καὶ τὸ ἐκ τοῦ υἱοῦ πνεῦμα, καὶ ὑπὸ χρόνον. ἀλλὰ μὴν συνυπάρχει τῷ υἱῷ, καὶ ἀϊδίως ἐξ αὐτοῦ ἐστί, καὶ οὐχ ὑπὸ χρόνον, οὐκ ἄρα χρὴ οἴεσθαι τὸ ἡμῖν τοῖς ὑπὸ χρόνον χορηγούμενον, εἶναι μόνον τὸ ἐκ τοῦ υἱοῦ πνεῦμα, ἀλλὰ τὸ ἀϊδίως ἐξ αὐτοῦ ὑπάρχον. εἰ δὲ τοῦτο, πῶς οὐκ ἔσται ἀΐδιος ὑπόστασις τοῦ παναγίου πνεύματος, τὸ ἐκ τοῦ υἱοῦ πνεῦμα, ἀλλ' ἡ χάρις αὐτοῦ καὶ ἡ ἐνέργεια; ἡ γὰρ χάρις καὶ ἡ ἐνέργεια, ἐπεὶ ἡμῖν, καὶ ἡμῶν ἕνεκα ὑπάρχει, πάντως καὶ ὑπὸ χρόνον ἔσται, ὡς καὶ αὐτὸς ἀπεφήνω εἰπών. εἰ ἐκπορεύεται ἡμῖν, καὶ ἡμῶν ἕνεκα, καὶ ὑπὸ χρόνον πάντως ἐστί, καὶ κρείττονες ἡμεῖς ἐκείνου, ὅτι καὶ δι' ἡμᾶς ἐκεῖνο τὴν ὕπαρξιν κέκτηται.

ΚΕΦΑΛΑΙΟΝ ιγ΄.

Ὅτι ἡ θεία χάρις, καὶ ἡ ἔλλαμψις, καὶ ἡ ἐνέργεια, συναΐδιος ἐστὶ τῷ υἱῷ, καὶ ἀεὶ πηγάζεται ἐξ αὐτοῦ, καθὼς καὶ ἐκ πατρός, καὶ ἐξ αὐτοῦ τοῦ παρακλήτου πνεύματος.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

ΟΥ̓κ ἔστιν ὦ οὗτος. οὐ δὲ ἡ θεία αὕτη χάρις τε καὶ ἔλλαμψις, καὶ ἡ ἐνέργεια, πρόσφατος καὶ ὑπὸ χρόνον, εἰ καὶ τοῖς κτιστοῖς πᾶσι, καὶ ἡμῖν προσφάτως καὶ ὑπὸ χρόνον ἐπιχορηγεῖται. συναΐδιος δὲ τῇ ὑπερουσίῳ Τριάδι, καὶ αὐτῆς ἀεὶ πηγαζομένη καὶ ἐκλάμπουσα, ὅλη ἐκ τοῦ πατρός, ὅλη ἐκ τοῦ υἱοῦ, ὅλη ἐκ τοῦ παρακλήτου Θεοῦ τοῦ παναγίου πνεύματος, καὶ τῆς τρισυποστάτου φύσεως τοῦ ἑνὸς Θεοῦ ἐστίν, ἀχρόνως, καὶ ἀειλαμπής, καὶ ὑπέρφωτος, ἑνιαία αἴγλη, ἀΐδιος ἐνέργεια, ὡς καὶ ὁ θεῖος ἐν ὕμνοις φησὶ Δαμασκηνός. Τρισσοφαῆ θεότητα ἑνιαίαν ἐκλάμπου- ,, Δαμασ

» σαν αἴγλην, ἐκ μιᾶς τρισυποστάτου φύσεως· εἰ καὶ τοῖς ὑπὸ χρόνον οὖσιν,
ἐπιχορηγεῖται, καὶ λαμβάνει πάντα τὰ ὄντα ἐξ αὐτῆς τὸ εἶναι, καὶ τὸ εὖ
εἶναι, κατὰ τὸν ἐν ἑκάστῳ προορισμὸν, καὶ τὴν δεκτικὴν ἑκάστου δύνα-
μιν, φυσικήν τε φημὶ, καὶ προαιρετικήν. ταύτην τοίνυν τὴν θείαν καὶ ἑνι-
αίαν ἔλλαμψιν καὶ χάριν καὶ αἴγλην τῆς ὑπερφώτου Τριάδος, τὴν ἁπλῶς,
καὶ ἀμερῶς, καὶ ταυτῶς, καὶ ὁλικῶς, καὶ ἑνιαίως, ἀεὶ ἐκλάμπουσάν τε καὶ
προερχομένην ἐκ τῆς μιᾶς τρισυποστάτου καὶ ὑπερθέου φύσεως, φασὶν οἱ
θεῖοι πατέρες, καταποικίλλεσθαι εἰς τὰς ἐκδιδομένας ἐκ Θεοῦ ἀγαθοποιοὺς
μεθέξεις τε καὶ δωρεάς· ἃς καὶ ἀπολύτως, καὶ ἀρχηγικῶς, καὶ πρώτως,
Διονύσ. » ἐκ Θεοῦ ὑποστῆναί φησιν, ὁ πολὺς τὰ θεῖα Διονύσιος, τὴν αὐτοουσίαν λέ-
» γων, τὴν αὐτοζωήν, τὴν αὐτοδύναμιν, τὴν αὐτοειρήνην, τὴν αὐτοαγα-
» θότητα, τὴν θεότητα, καὶ τούτων ὑποστάτην καὶ δημιουργὸν, τὸν Θεὸν ἀ-
νάρχως λέγει. τούτῳ τοίνυν ἀκολούθως, καὶ ὁ θεῖος Μάξιμος οὕτω φησί.
Μάξιμος » ζητητέον τοῖς σπουδαιοτέροις, τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα, ὧν ἤρξατο
» τῆς Γενέσεως ὁ Θεὸς, καὶ τίνα πάλιν, ὧν οὐκ ἤρξατο. εἰ γὰρ πάντων κα-
» τέπαυσε τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, δῆλον ὡς ἐκείνων οὐ κατέπαυσεν,
» ὧν οὐκ ἤρξατο ποιῆσαι. μήποτε οὖν, ἔργα μὲν Θεοῦ χρονικῶς ἠργμένα τοῦ
» εἶναι, εἰσὶ πάντως τὰ τοῦ εἶναι μετέχοντα. οἷον αἱ διάφοροι τῶν ὄντων οὐ-
» σίαι. τὸ γὰρ μὴ ὂν ἔχουσιν αὐτῶν τοῦ εἶναι πρεσβύτερον· ἦν γὰρ ποτὲ, ὅ-
» τε οὐκ ἦν. ἔργα Θεοῦ τυχὸν οὐκ ἠργμένα χρονικῶς τὰ ὄντα μεθεκτὰ,
» ὧν κατὰ χάριν μετέχουσι τὰ ὄντα μετέχοντα. οἷον ἡ ἀγαθότης, καὶ πᾶν εἴ τι
» τῷ τῆς ἀγαθότητος ἐμπεριέχεται λόγῳ· καὶ ἁπλῶς πᾶσα ζωὴ, καὶ ἀ-
» θανασία, καὶ ἁπλότης, καὶ ἀτρεψία, καὶ ἀπειρία, καὶ ὅσα περὶ Θεὸν οὐσι-
» ωδῶς θεωρεῖται. ἅτινα καὶ ἔργα Θεοῦ ἐστὶ, καὶ οὐκ ἠργμένα χρονικῶς. οὐ
» γὰρ ποτὲ πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν, οὐ δέ τινος ἄλλου τῶν ἠργ-
» μένων. οὐκ ἦν γὰρ ποτὲ, ὅτε οὐκ ἦν ταῦτα, ἄναρχά τε ὄντα χρονι-
» κῶς, καὶ μόνον τὸν Θεὸν ἔχοντα τοῦ εἶναι μονιμώματα ἀϊδίως γεννήτορα· τὰ
» μέντοι ἠργμένα χρονικῶς, τῇ μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς, καὶ
» εἰσὶ, καὶ λέγονται, τοῦθ' ὅπερ καὶ εἰσὶ καὶ λέγονται. Ὁρᾷς ἐκ τούτων, ὅτι
ἐξ ἀϊδίου, καὶ ἀνάρχως, καὶ ἀχρόνως, ἐκλάμπει ἡ θεία αὕτη αἴγλη καὶ

χάρις

χάρις ἐπίσης ἐκ πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, καὶ ἐνέργεια τῆς ὑπερφώτου καὶ τρισυποστάτου φύσεώς ἐστιν, εἰ καὶ ὑπὸ χρόνον καὶ προσφάτως ἡ αὐτὴ ἐπιχορηγεῖται τοῖς κτιστοῖς πᾶσι, καὶ τοῖς ὑπὸ χρόνον οὖσιν ἐξ υἱοῦ· ἔφημεν οὖν εἰ ἐκπορεύεται ἡμῖν, καὶ ἡμῶν ἕνεκα, εἶναι καὶ ὑπὸ χρόνον. διότι τὸ ἐκπορεύεσθαι, παραστατικόν ἐστι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, ὥσπερ καὶ τὸ γεννᾶσθαι τοῦ υἱοῦ. καὶ τὸ λέγειν ἐκπορεύεσθαι ἡμῖν, ταὐτόν ἐστι τῷ λέγειν ἡμῖν τὴν ὕπαρξιν ἔχειν, καὶ δι' ἡμᾶς. εἰ δὲ δι' ἡμᾶς ἔχῃ τὴν ὕπαρξιν, καὶ ὑπὸ χρόνον πάντως ἐστὶ, καὶ κρείττονες ἡμεῖς ἐκείνου. οὐ μὴν δὲ καὶ τὸ ἐκλάμπειν, καὶ προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ χορηγεῖσθαι, καὶ τὰ τοιαῦτα, παραστατικά εἰσιν ἀρχικῆς ὑπάρξεως, ἀλλὰ τῆς ὅτε βούληται μεταδόσεως τῆς θείας χάριτος καὶ ἐνεργείας. διὸ οὐ δὲ ὑπὸ χρόνον φαμὲν ἔχειν τὸ εἶναι, καὶ δι' ἡμᾶς, τὴν θείαν ταύτην χάριν, καὶ ἔλλαμψιν, καὶ ἐνέργειαν. ἀεὶ δὲ ἀπολύτως ἐκλάμπειν καὶ προχεῖσθαι ἐξ υἱοῦ, ὥσπερ δῆτα καὶ ἐκ πατρὸς (ὡς ἔφημεν) καὶ αὐτοῦ τοῦ παρακλήτου θεοῦ τοῦ παναγίου πνεύματος. ἐκλάμ- [illegible] χορηγεῖσθαι καὶ τῇ κτίσει πάσῃ, καὶ ἡμῖν, ὑπὸ χρόνον ὑπάρξαι καὶ προσφάτως. εἰ δὲ ἡ θεία αὕτη χάρις καὶ ἡ ἔλλαμψις οὐδαμῶς ἡμῖν τὸ εἶναι ἔχει, ὥσπερ δῆτα καὶ ἀποδέδεικται, πῶς ὅλως χρὴ λέγειν ἐκπορεύεσθαι ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' οὐ τὸ λέγειν τοὺς πατέρας, χορηγεῖσθαι, καὶ ἐκλάμπειν, καὶ προχεῖσθαι ἡμῖν;

Ο ΛΑΤΙΝΟΣ.

Πόθεν οὖν ἔχει τις διαγινώσκειν καὶ διακρίνειν, ὅταν ταῖς τῶν θείων πατέρων γραφαῖς ἐντυγχάνῃ περὶ τοῦ παναγίου πνεύματος, εἴτε περὶ τῆς ὑπάρξεως αὐτοῦ φασὶν, εἴτε καὶ περὶ τῆς ἐξ αὐτοῦ πηγαζομένης χάριτος; βούλομαι τοῦτο μαθεῖν πλατύτερον.

ΚΕΦΑΛΑΙΟΝ ιγ.

Ὅτι ἡ ἐκπόρευσις τοῦ παναγίου πνεύματος, ἀπολύτως λέγεται, καὶ ἄνευ τινὸς αἰτίας, καὶ τὴν ὕπαρξιν αὐτοῦ χαρακτηρίζει, ὥσπερ καὶ τοῦ υἱοῦ ἡ γέννησις.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ὥσπερ οὖν ἔφημεν, τοῦτο καὶ πάλιν φαμὲν, ὅτι ὥσπερ τὸ γεννᾶσθαι, χαρακτηρίζει αὐτὴν τὴν τοῦ υἱοῦ ὑπόστασίν τε καὶ ὕπαρξιν μόνην. διὸ καὶ ἀσχέτως, καὶ ἀπολύτως, εἴτ' οὖν ἄνευ τινὸς αἰτίας, καὶ ἐκ πατρὸς μόνου, ταῦτα προφέρονται· ὑπὲρ γὰρ αἰτίαν καὶ λόγον, ἥ τε τοῦ υἱοῦ γέννησις, καὶ ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις· οὐδὲ γὰρ πώποτε τοῖς θείοις πατράσιν, ἢ τὸν υἱὸν γεγεννῆσθαι, ἢ τὸ παναγιον πνεῦμα ἐκπορεύεσθαι, πσὶν, ἢ εἰς τὸ δέ τι, ἢ διὰ τό δε, καὶ ἕνεκα τοῦδε· τοῦτο γὰρ τῆς ἀρειανικῆς ἐστὶ παραπληξίας καὶ βδελυρίας, ὡς ἔφημεν· τὸ δὲ πηγάζεσθαι, καὶ προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ προϊέναι, καὶ ἐκλάμπειν, καὶ πεφηνέναι, καὶ ἐνιέναι, καὶ τὰ τοιαῦτα, ποτὲ μὲν τοῦ υἱοῦ τὴν γέννησιν σημαίνουσι, καὶ ἀντὶ τῆς γεννήσεως τοῦ υἱοῦ ταῦτα ἐκλαμβάνονται: ποτὲ δὲ, καὶ ἀντὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος: ποτὲ δὲ σημαίνουσι ταῦτα τὰ ὀνόματα, καὶ τὴν τῆς θείας χάριτος καὶ ἐνεργείας μετάδοσίν τε καὶ χορηγίαν καὶ διανομήν· καὶ ὅτε μὲν προφέρωνται ταῦτα ἀσχέτως, καὶ ἀπολύτως, εἴτ' οὖν ἄνευ τινὸς αἰτίας, καὶ ἐκ πατρὸς μόνου, τότε ἀριδήλως καὶ φανερῶς, ἢ ἀντὶ τῆς γεννήσεως τοῦ υἱοῦ, ἢ ἀντὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος ἐκλαμβάνονται, καὶ ταῦτα σημαίνουσιν· ὅτε δὲ μετ' αἰτίας τινὸς ταῦτα προφέρωνται, ἢ ὡς πσὶν, ἢ εἰς τόδε τι, ἢ διὰ τόδε, καὶ ἕνεκα τοῦδε, τότε οὐ μόνον ἐκ πατρὸς, ἀλλὰ καὶ διὰ τοῦ υἱοῦ καὶ ἐκ τοῦ υἱοῦ, καὶ ἐπίσης ἐκ πατρὸς καὶ υἱοῦ λέγονται, καὶ τῆς θείας χάριτος καὶ ἐνεργείας εἰσὶ σημαντικά· κατὰ τοῦτο καὶ πηγὴ λέγεται τοῦ παναγίου πνεύματος ὁ υἱὸς, καὶ ἐκ τοῦ υἱοῦ πηγάζεσθαι τοῖς δικαίοις τὸ

πνεῦμα

πνεῦμα τὸ ἅγιον καὶ διὰ τοῦ υἱοῦ ἡμῖν ἐκ πατρὸς, ὁ θεῖος Δαμασκηνὸς » Δαμασ.
προέρχεσθαι φάσκει. καὶ παρέχεται τοῖς ἀποστόλοις παρὰ τοῦ υἱοῦ, καθάπερ » Κυριλ.
ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ πατρὸς, φησὶν ὁ θεῖος πατὴρ ἡμῶν Κύριλλος. καὶ »
ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, ὁ Θεὸς διὰ τοῦ προφή- » Ἰωὴλ. β.
του φησὶν Ἰωήλ. καὶ χάρις ἐκχεῖται, οὐχ ὁ δωρούμενος τὴν χάριν, ἐν τῷ » Χρυσόστ.
εἰς τὴν Πεντηκοστὴν λόγῳ περὶ τοῦ ἁγίου πνεύματος, ὁ θεῖος φησὶ Χρυ- »
σόστομος. καὶ ἐκ τοῦ υἱοῦ πρόεισι τοῖς δικαίοις τὸ πνεῦμα τὸ ἅγιον, καὶ δι' υἱοῦ » Γρηγ. ὁ
πιστοῖς ἡμῖν πεφηνὸς, φησὶν ὁ ἐν θαυματουργίαις μέγιστος θεῖος Γρηγόριος. » θαυμ.
καὶ ἐνίησιν ἡμῖν ὁ υἱὸς τὸν ἁγιασμὸν εἴτ' οὖν τὸ πνεῦμα τὸ ἅγιον. ὅτι δὲ »
ἐπίσης ἐκ πατρὸς καὶ υἱοῦ καὶ αὐτοῦ τοῦ παναγίου πνεύματος τοῦ ἑνὸς τῆς »
ἁγίας Τριάδος Θεοῦ, χορηγεῖται ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον, εἴτ' οὖν ἡ θεία
χάρις καὶ ἡ δωρεὰ, καὶ ὁ θεῖος ἀπόστολος Παῦλος μάρτυς, οὕτω φάσκων·
διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα. καὶ διαιρέσεις διακονιῶν » Κορινθ. α β
εἰσὶν, ὁ δὲ αὐτὸς Κύριος. καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, »
ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ὑμεῖς δὲ ἐντυγχάνοντες τῇ ὁμωνυμίᾳ τοῦ πα- »
τρὸς, καὶ μὴ διαστέλλοντες ταύτην, μηδὲ τὴν ἐκπόρευσιν διακρίνοντες
ἐκ τῶν λοιπῶν ὀνομάτων, προσπταίετε οὐ μικρῶς.

Ὁ ΛΑΤΙΝΟΣ.

Οὐκοῦν τὸ ἐκπορεύεσθαι μόνον, τρόπος ἐστὶ τῆς ὑπάρξεως. τὸ δὲ πηγάζεσθαι, καὶ προέρχεσθαι, καὶ παρέχεσθαι, καὶ προϊέναι, καὶ πεφηνέναι, καὶ τὰ τοιαῦτα ὀνόματα προφερόμενα μετ' αἰτίας τινὸς, δηλωτικὰ εἰσὶν (ὡς ἔφης) τῆς πρὸς ἡμᾶς χορηγείας καὶ μεταδόσεως τῆς θείας χάριτος καὶ ἐνεργείας, καὶ οὐ τῆς ὑπάρξεως. τὸ ἀπεστάλθαι τοῖς ἀποστόλοις παρὰ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, τίνος φῂς εἶναι δηλωτικὸν, τῆς τοῦ πνεύματος ὑπάρξεως, ἢ τῆς θείας χάριτος καὶ ἐνεργείας; ὅτι μὲν ἀπεστάλη τὸ πνεῦμα τὸ ἅγιον τοῖς ἀποστόλοις παρὰ τοῦ υἱοῦ, οὐκ ἂν ἐνδοιάσαιτό τις ἐλεγχόμενος παρ' αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ὃν ἐγὼ πέμψω ὑμῖν. οὐ μὴν δὲ καὶ παρὰ τοῦ πνεύματος ἀντιπεστάλθαι τὸν υἱὸν, ἔχοις ἂν ὅλως εἰπεῖν παρὰ τῆς γραφῆς. ἐπεὶ γοῦν ἀποστέλλεται τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, πάντως καὶ ἐξ αὐτοῦ ἐκπορεύεται, ἀφ' οὗπερ ἂν καὶ ἀποστέλλεται. Οὐκοῦν εἰ τρόπος τῆς

τοῦ

τοῦ πνεύματος ὑπάρξεως ἐστὶ τὸ ἐκπορεύεσθαι (κατὰ σέ). ἔτι τὸ ἐκπορεύεσθαι, ταὐτὸν τῷ ἀποστέλλεσθαι, καὶ τὸ ἀποστέλλεσθαι ἄρα τρόπος ἐστὶ (κατὰ σέ) τῆς τοῦ πνεύματος ὑπάρξεως. ἀλλὰ μὴν τοῦτο οὐκ ἔστιν. οὐδὲ γὰρ τοῖς ἀποστόλοις ἔχει τὸ εἶναι τὸ πνεῦμα τὸ ἅγιον. οὐδὲ τῆς τούτου οὐσίας οὗτοι χορηγικοί. οὐδὲ τὸ ἐκπορεύεσθαι ἄρα, τρόπος ἐστὶ τῆς τοῦ πνεύματος ὑπάρξεως.

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

Ὅτι ἡ ἀποστολὴ τοῦ παναγίου πνεύματος, τῆς εὐδοκίας ἐστὶ σημαντική, καὶ οὐ τῆς ἐκπορεύσεως.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ἀλλ' οὐκ ἔστι τὸ ἐκπορεύεσθαι ταὐτὸν τῷ ἀπεστάλθαι, ὦ οὗτος. οὐ δὲ γὰρ τὴν ἁπλῶς καὶ κατὰ συμβεβηκὸς ἐξέλευσιν δηλοῖ, ἡ ἐκ τοῦ πατρὸς τοῦ παναγίου πνεύματος ἐκπόρευσις. τὴν οὐσιώδη δὲ καὶ φυσικὴν καὶ τὴν οὗ πῶς ἔχειν ἐκ πατρὸς τὴν ὕπαρξιν ἐκφαντικήν. καὶ ὅπερ ἡ μὲν ἐκπόρευσις συναΐδιος ἐστὶ τῇ ἀγεννησίᾳ τοῦ πατρὸς, καὶ τῇ γεννήσει τοῦ υἱοῦ. ἡ δὲ πέμψις, οὐ μόνον πρόσφατος ἐστὶ, καὶ ὑπὸ χρόνον, καὶ χρόνων ἐπ' ἐσχάτων, ἀλλὰ δῆτα καὶ βουλήσεως ἔργον. εὐδοκίᾳ γὰρ πατρὸς καὶ υἱοῦ ἀπεστάλη, καὶ ταὐτὸν ἡ εὐδοκία τῇ ἀποστολῇ. ἄμφω δὲ οὐδὲν ἄλλο, ἢ βουλήσεως ἔργον. ἡ δέ γε ἐκπόρευσις, οὐκ ἔστι βουλήσεως ἔργον, φύσεως δὲ, καὶ τρόπος τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως. ὥσπερ δῆτα καὶ ἡ ἀγεννησία, καὶ ἡ γέννησις. ἡ μὲν, τρόπος τῆς τοῦ πατρὸς. ἡ δὲ, τῆς τοῦ υἱοῦ ὑπάρξεως. φυσικὴ γὰρ κίνησις ἐστὶ καὶ ταυτότης οὐσίας, ἡ διαφορὰ τῶν τρόπων τῶν ὑπάρξεων, καὶ τῶν ὑποστατικῶν ἰδιοτήτων. ἐπειδήπερ καὶ ἡ κατ' εἰκόνα Θεοῦ πλασθεῖσα τῶν ἀνθρώπων φύσις, ἔσχεν ἐν αὐτῇ τὰς διαφορὰς τῶν τρόπων τῶν ὑπάρξεων. τὸ μὲν γὰρ ἀγέννητον, ἐν τῷ Ἀδάμ· ἐν τῷ Ἄβελ δὲ, τὸ γεννητόν. καὶ ἐν τῇ Εὕᾳ, τὸ ἐκπορευτόν. ἡ γὰρ φυσικὴ ταυτότης τῆς οὐσίας, δημιουργεῖ τὰς διαφορὰς τῶν ὑποστατικῶν ἰδιοτήτων, καὶ τοὺς τρόπους τῶν ὑπάρξεων. εἰ δὲ τὸ ἐκπορεύεσθαι, ταὐτὸν τῷ ἀπε-

σάλθαι, ἀπεστάλη δὲ καὶ ὁ υἱός. ἐκπορεύοιτο ἄρα καὶ ὁ υἱός (κατὰ σέ) ὅτι καὶ ἀπεστάλη. ἀλλὰ μὴν τοῦτο οὐκ ἔστιν· οὐ δὲ τὸ ἐκπορεύεσθαι ἄρα, ταυτὸν τῷ ἀπεστάλθαι. καὶ εἰ τὸ ἀποστελλόμενον, τίσιν ἀποστέλλεται, καὶ τὸ ἐκπορευόμενον, τίσιν ἐκπορεύοιτο ἂν (κατὰ σέ.) τὰ γὰρ πάντη ταὐτά, καὶ ὁμοίως ἐκφέρονται· ἀλλὰ μὴν τὸ μὲν πρῶτον, ἀληθές. τὸ δὲ δεύτερον, ψευδές. οὐκ ἄρα ταυτὸν τὸ ἀπεστάλθαι τῷ ἐκπορεύεσθαι, εἴπερ οὐδὲ ταυτὸν τῷ ψεύδει, τὸ ἀληθές. εἰ δὲ τοῦτο, πῶς τὸ ἀπεστάλθαι, δηλωτικὸν εἶναι φῂς τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως; οὐ γὰρ ἐν τῷ ἀπεστάλθαι τοῦτο τὴν ὕπαρξιν ἔσχεν, ὑπὸ χρόνον ἀποσταλέν, καὶ ποῖ. ἀλλ' οὐ δὲ τῆς θείας χάριτος καὶ ἐνεργείας μόνης δηλωτικὸν ἐστὶ τὸ ἀπεστάλθαι· οὐδὲ γὰρ μόνη χάρις καὶ ἐνέργεια καταπεφοίτηκεν τοῖς ἀποστόλοις, ἀλλ' ὥσπερ ὁ υἱὸς συνάναρχος ὢν καὶ συναΐδιος τῷ πατρὶ, ἐπ' ἐσχάτων τῶν χρόνων εὐδοκίᾳ πατρὸς, καὶ συνεργείᾳ εἴτ' οὖν συνευδοκίᾳ τοῦ παναγίου πνεύματος, ἐνανθρωπήσας πρὸς ἡμᾶς ἀπεστάλη· καὶ λέγεται ἡ εὐδοκία τοῦ τε πατρὸς καὶ τοῦ παναγίου πνεύματος, ἀποστολὴ τοῦ υἱοῦ. καὶ τοῖς θείοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις, τὰς θείας αὐτοῦ χάριτας διένειμε καὶ δωρεὰς, λέγων αὐτοῖς, » ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε. (Ματθ. ι.) » καὶ πάλιν, ἐνεφύσησεν αὐτοῖς καὶ εἶπεν, (Ἰωαν. κ.) » λάβετε πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται » αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· » οὕτω καὶ αὐτὸς ὁ παράκλητος ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς, τὸ πνεῦμα τὸ ἅγιον, μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐν τῷ καιρῷ τῆς Πεντηκοστῆς, εὐδοκίᾳ πατρὸς, καὶ υἱοῦ, πρὸς ἡμᾶς ἀπεστάλη· καὶ λέγεται ἡ εὐδοκία πατρὸς καὶ υἱοῦ, ἀποστολὴ τοῦ παναγίου πνεύματος, καὶ τὰς τελεωτέρας αὐτοῦ χάριτας καὶ δωρεὰς διένειμε τοῖς ἀποστόλοις, καταμερίσας ὥσπερ καὶ ὁ υἱός. ὥστε τὸ ἀπεστάλθαι, οὔτε τῆς ὑπάρξεως τοῦ παναγίου πνεύματος ἐστὶ δηλωτικόν. (οὐ δὲ γὰρ ἐστὶ τρόπος ὑπάρξεως τὸ ἀπεστάλθαι) οὔτε τῆς αὐτοῦ μόνης χάριτος θείας καὶ ἐνεργείας· τῆς δὲ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ εὐδοκίας, ὡς καὶ ἡ θεολόγος φησὶ φωνή. » τὴν εὐδοκίαν πατρὸς, ἀποστολὴν εἶναι νόμισον. (Γρηγ.) Ὅτι γε μὴν ἀπεστάλη καὶ ὁ υἱὸς ὥσπερ ἐκ πατρὸς, οὕτω δὴ καὶ

ἐκ τοῦ παναγίου πνεύματος, ἔξεστίν σοι μαθεῖν, ἀκούων εὐδοκίᾳ πατρὸς ἀπεστάλθαι, καὶ συνεργείᾳ εἴτ᾽ οὖν συνευδοκίᾳ τοῦ παναγίου πνεύματος· τὸ γὰρ συνευδοκεῖν, συναποστέλλειν πάντως ἐστί· εἰ δὲ καὶ ἑτέραν μοι γραφικὴν ἀπαιτεῖς μαρτυρίαν, ἄκουσον αὐτοῦ τοῦ υἱοῦ λέγοντος διὰ Ἠσαΐου τοῦ
Ἠσαΐ. μη· „ προφήτου, ὁ Κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ· τί ταύτης τῆς μαρτυρίας γένοιτ᾽ ἂν ἐκδηλότερον, ἢ ἀληθέστερον; τούτῳ καὶ ὁ θεῖος Χρυσόστομος κατὰ τῶν πάλαι πνευματομάχων ἐχρήσατο, λεγόντων, τὴν ἀποστολὴν ἐλαττώσεως λόγον ἐπέχειν· πρὸς τούτοις δὲ καὶ ὁ θεῖος Αὐ-
Αὐγουστ. „ γουστῖνός τε, καὶ Ἱερώνυμος, οὕτω φασίν, ἐάνπερ ἠθέλησεν ὁ Θεὸς καὶ πα-
καὶ Ἱερων· „ τὴρ φανῆναι εἰς τὴν ὑποκειμένην κτίσιν, ἢ ἀπὸ τοῦ υἱοῦ τοῦ ἐξ αὐτοῦ γε-
„ γεννημένου, ἢ ἀπὸ τοῦ πνεύματος τοῦ ἐξ αὐτοῦ ἐκπορευομένου, ἐλέγετ᾽ ἂν ἀπεστάλθαι αὐτόν. καὶ τοῦτο μὲν ἐν τούτοις. εἰ δὲ τὸ ἐκπορεύεσθαι οὐκ ἔστι τρόπος τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, δότε ἡμῖν τὸν τρόπον τῆς ὑπάρξεως αὐτοῦ, καὶ πῶς τὸ εἶναι ἔχει, ἐξ αἰτίου, ἢ γεννητῶς ἂν πάντως, ὥσπερ ὁ υἱός, ἢ δημιουργικῶς, ὥσπερ τὰ κτίσματα τὰ ὑπὸ χρόνον. ἀλλὰ μὴν γεννητῶς οὐκ ἔστιν ἐξ αἰτίου. οὐδὲ γὰρ ὁ υἱός τὸ πνεῦμα τὸ ἅγιον. δημιουργικῶς ἂν πάντως κατὰ τοὺς πάλαι πνευματομάχους ἐναπολέλειπται νοεῖν. εἰ δὲ μὴ τοῦτο, πῶς ἄλλως συνιδεῖν οὐκ ἔχω.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Πλείστην ὑμεῖς ποιεῖσθε τὴν περὶ τοῦ πνεύματος λεγομένων ὀνομάτων τὴν διαστολήν. οἱ δὲ ἐκ Ῥώμης περδικαπώριοί τε, καὶ ὁ ἡμέτερος, ἀδιαφόρως ἐκλαμβάνουσι ταῦτα τὰ ὀνόματα. καὶ ταυτὸν εἶναι φασὶ τὸ ἐκπορεύεσθαι, τό, τε χορηγεῖσθαι, καὶ πέμπεσθαι, καὶ ἀποστέλλεσθαι, καὶ προέχεσθαι, καὶ προχεῖσθαι, καὶ τοῖς λοιποῖς. διὸ καὶ ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα φασὶν ἐκπορεύεσθαι, ὥσπερ καὶ χορηγεῖσθαι, καὶ ἀποστέλλεσθαι, καὶ προέρχεσθαι, καὶ προχεῖσθαι. καὶ ὡς ἓν τῶν ὀνομάτων τούτων ἐκλαμβάνουσι καὶ τὸ ἐκπορεύεσθαι. καὶ οὐδὲ τρόπον φασὶν εἶναι τὸ ἐκπορεύεσθαι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως.

ΚΕΦΑΛΑΙΟΝ ιε.

Ὅτι ἡ ἐκπόρευσις, τρόπος ἐστὶ τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, ὥσπερ καὶ ἡ γέννησις, τρόπος ἐστὶ τῆς τοῦ υἱοῦ ὑπάρξεως.

Ὁ ὈΡΘΌΔΟΞΟΣ.

Διότι πνευματομάχοι εἰσὶν οἱ τοιοῦτοι, καὶ ἀθετηταὶ τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως. οἱ γὰρ ἀθετοῦντες τὸν τρόπον τῆς ὑπάρξεως αὐτοῦ, ἀθετοῦσι πάντως, καὶ τὴν ὕπαρξιν αὐτοῦ· ὥσπερ καὶ οἱ ἀθετοῦντες τοὺς τρόπους τῶν ὑπάρξεων, τοῦ μὲν πατρὸς, τὸ ἄναρχόν τε καὶ ἀγέννητον. τοῦ δὲ υἱοῦ, τὸ γεννητὸν, ἀθετοῦσι καὶ τὴν ὕπαρξιν αὐτῶν. οὕτω καὶ οἱ ἀθετοῦντες τὴν ἐκπόρευσιν, τρόπον εἶναι τῆς ὑπάρξεως τοῦ παναγίου πνεύματος, ἀθετοῦσι καὶ τὴν ὕπαρξιν αὐτοῦ· τοῦτο δὲ τὸ λῆμμα, καὶ τῶν πάλαι ἦν τῶν πνευματομάχων. πρὸς οὓς ὁ θεολόγος φησὶ Γρηγόριος. (Γρηγ. θεολ.) „ποῦ θήσεις τὸ ἐκπορευτὸν εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ κρείττονος, ἢ κατὰ σὲ, θεολόγου τοῦ Σωτῆρος ἡμῶν εἰσαγόμενον; εἰ μὴ γὰρ τὴν φωνὴν ἐκείνην, τῶν σῶν ἐξεῖλες εὐαγγελίων, διὰ τὴν τρίτην σου διαθήκην, τὸ πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὃ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα. καθόσον δὲ οὐ γεννητὸν, οὐχ υἱός. καθόσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός.“ καὶ γὰρ οὐ μόνον κτίσμα τοῦτο ὑπελάμβανον, ἀλλὰ δῆτα καὶ ἁπλῶς ἐνέργειαν ἔκ τε πατρὸς προερχομένην καὶ υἱοῦ, καὶ τοῖς κτίσμασι χορηγουμένην. περὶ ὧν αὐτός καὶ πάλιν ὁ θεολόγος λέγει. (Ὁ αὐτός.) „τῶν δὲ καθ' ἡμᾶς σοφῶν, οἱ μὲν ἐνέργειαν τοῦτο ὑπέλαβον, οἱ δὲ κτίσμα, οἱ δὲ Θεὸν, οἱ δὲ οὐκ ἔγνωσαν ὁπότερον τούτων.“ διὰ τοῦτο καὶ οἱ νῦν τὴν τοῦ παναγίου πνεύματος ἐκπόρευσιν, χορηγίαν εἶναι τιθέμενοι, καὶ ἀποστολὴν, ἢ πρόχυσιν, ἢ πρόπεμψιν, ἀθετηταὶ εἰσὶ τῆς τούτου χαρακτηριστικῆς ἰδιότητος. καὶ τῆς τοῦ Μακεδονίου δόξης ἀφιστάμενοι κατ' οὐδέν. καὶ γὰρ ὥσπερ ἐκεῖνος τὴν ἐνυπόστατον τοῦ παναγίου πνεύματος ὕπαρξιν ἀθετῶν, ἐνέργειαν χορηγουμένην ἐδογμάτιζε

τοῦτο τοῖς μετειληφόσι καὶ δεκτικοῖς πρόσφορον, καὶ εἰς ἀνυπαρξίαν κατήγε, τὴν πάσης οὐσίας καὶ ὑπάρξεως ὑπερούσιον τοῦ θείου πνεύματος οὐσίαν καὶ ὕπαρξιν, οὕτω καὶ οὗτοι τῆς ἐκ τοῦ πατρὸς οὐσιώδους τοῦ παναγίου πνεύματος ὑπάρξεως ἀθετοῦντες τὴν χαρακτηριστικὴν ἰδιότητα, τὴν ἐκπόρευσιν, ἣν ἡμεῖς καὶ δεδέγμεθα, καὶ πιστεύομεν, καὶ ὁμολογοῦμεν, χαρακτηριστικὸν εἶναι ἰδίωμα, καὶ τρόπον τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, κατ' οὐδὲν τῆς ἐκείνου μανίας διενηνόχασιν. εἰ δὲ τοῦτο, πόθεν ἂν σχοίημεν τῆς ἐνυποστάτου ὑπάρξεως τοῦ παναγίου πνεύματος, τὴν χαρακτηριστικήν τε καὶ ὑποστατικὴν ἰδιότητα, αὐτὴν τὴν ἐκπόρευσιν ἀθετήσαντες; τίς δὲ καὶ λόγος ἕτερος παραστήσει, πῶς ἔχει τὴν ὕπαρξιν ἐκ πατρὸς; εἰ μὴ γὰρ ἐκπορευτῶς, γεννητῶς ἂν πάντως ταύτην κεκτῆσθαι. εἰ δὲ καὶ μὴ γεννητῶς, πῶς ἂν ἄλλως σχοίη τὴν ὕπαρξιν ἐκ πατρὸς; ἕτερον γὰρ τούτων τρόπον ὑπάρξεως ἐν τῇ ὑπερουσίῳ Τριάδι, οὔπω καὶ νῦν ἀκηκόαμεν, χαρακτηρίζοντα τὴν ἑκατέρου ὑποστατικὴν ἰδιότητα, καὶ πῶς ἑκάτερος τὴν ὕπαρξιν ἐκ πατρὸς ἔχει; εἰ μὴ γὰρ τὴν ἐκπόρευσιν ἐκλαμβάνοιμεν, τρόπον εἶναι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, καὶ τὸ πῶς ἔχει τὴν ὕπαρξιν ἐκ πατρὸς, οὐδὲ τὴν γέννησιν ὅλως δεξώμεθα, τρόπον εἶναι τῆς τοῦ υἱοῦ ὑπάρξεως, καὶ τὸ πῶς ἔχει τὴν ὕπαρξιν ἐκ πατρὸς καὶ ὁ υἱός. εἰ τῇ χορηγίᾳ καὶ πέμψει, ταὐτὸ δ' [illegible] ἡ ἐκπόρευσις. βουλήσεως ἔργον ἥ τε χορηγία καὶ πέμψις (ὡς ἔφημεν,) βουλήσεως πάντως καὶ ἡ ἐκπόρευσις. καὶ τίνι τοῦ Εὐνομίου διενηνόχασιν οἱ ταῦτα φθεγγόμενοι;

Εὐνόμιος. „ ἐκεῖνος γὰρ ἔφασκε, βουληθεὶς ὁ πατὴρ, γεγέννηκε τὸν υἱόν. καὶ εἰ τὸ ἐκπορεύεσθαι ταὐτὸν τῷ χορηγεῖσθαι καὶ πέμπεσθαι, τὸ δὲ χορηγούμενον καὶ πεμπόμενον, ὑπὸ χρόνον χορηγεῖται καὶ πέμπεται, καὶ τὸ ἐκπορευόμενον ἄρα, ὑπὸ χρόνον ἐκπορεύεσθω (καθ' ὑμᾶς): ἀλλὰ μὴν συναΐδιος τῷ πατρὶ, ἥ τε τοῦ υἱοῦ γέννησις, καὶ ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις, οὐκ ἄρα ταὐτὸν τὸ ἐκπορεύεσθαι, τῷ τε χορηγεῖσθαι, καὶ πέμπεσθαι. καὶ εἰ τὸ χορηγούμενον καὶ πεμπόμενον, ποτὲ χορηγεῖται καὶ πέμπεται. καὶ τὸ ἐκπορευόμενον ἄρα, ποτὲ ἐκπορεύεται (καθ' ὑμᾶς·) εἴπερ ταὐτὸν τὸ ἐκπορεύεσθαι, τῷ τε χορηγεῖσθαι καὶ πέμπεσθαι. ἀλλὰ

μὴν

μὴν ὑπὲρ αἰτίαν καὶ λόγον, ὥσπερ ἡ τοῦ υἱοῦ γέννησις. οὕτω καὶ ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις. οὐκ ἄρα τὸ ἐκπορεύεσθαι, ταυτὸν τῷ χορηγεῖσθαι, καὶ πέμπεσθαι· καὶ εἰ τὸ ἐκπορεύεσθαι, ταυτὸν, τῷ τε πηγάζεσθαι, καὶ προέρχεσθαι, καὶ ἐκλάμπειν, καὶ προϊέναι, καὶ πεφηνέναι· τὸ δὲ πηγάζεσθαι, καὶ τὰ τοιαῦτα, ταυτὸν τῷ γεννᾶσθαι· καὶ τὸ ἐκπορεύεσθαι ἄρα, ταυτὸν τῷ γεννᾶσθαι. Ὁρᾷς εἰς ὅσοι ἀτοπίας περιάγει, τὸ συγχέειν οὕτω καὶ μὴ διακρίνειν τὰς τῶν ὑποστάσεων ἰδιότητας; ἐκ τοῦ λέγειν ταυτὸν ἐστὶ τῇ τε χορηγίᾳ, καὶ πέμψει, καὶ τοῖς λοιποῖς ὀνόμασι, τὴν ἐκπόρευσιν; οἱ γὰρ ἀθετοῦντες τὸν τρόπον τῆς ὑπάρξεως τοῦ παναγίου πνεύματος, ἀθετηταὶ πάντως εἰσὶν (ὡς ἔφημεν) καὶ τῆς τούτου ὑπάρξεως. τί δὲ σοι δοκεῖ ὁ θεῖος Δαμασκηνὸς Ἰωάννης, τρόπον εἶναι λέγων τὴν ἐκπόρευσιν τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως ἄληπτόν τε καὶ ἄγνωστον; καὶ τοῦτο οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· ἄρα γε παραγράψεις τοῦτον παραχαράττοντα τὴν ἀλήθειαν, καὶ τὰ μὴ κατὰ γνώμην τὴν σὴν διδάσκοντα; ἐν γὰρ τῷ περὶ Τριάδος λόγῳ, οὕτω κατὰ λέξιν διέξεισιν.

» εἰ γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. ἄλλος οὗτος ὑπάρξεως τρόπος, ἄληπτός τε καὶ ἄγνωστος, ὥσπερ καὶ τοῦ υἱοῦ ἡ γέννησις. διὸ καὶ πάντα ὅσα ἔχει ὁ πατὴρ, αὐτοῦ εἰσὶ, πλὴν τῆς ἀγεννησίας, ἥτις οὐ σημαίνει οὐσίας διαφορὰν, οὐδὲ ἀξίωμα, ἀλλὰ τρόπον ὑπάρξεως. ὥσπερ καὶ ὁ Ἀδὰμ ἀγέννητος ὢν, πλάσμα γὰρ ἐστὶ Θεοῦ· καὶ ὁ Σὴθ γεννητὸς, υἱὸς γὰρ ἐστὶ τοῦ Ἀδάμ. καὶ ἡ Εὔα ἐκ τῆς τοῦ Ἀδὰμ πλευρᾶς ἐκπορευθεῖσα, οὐ γὰρ ἐγεννήθη αὕτη. οὐ φύσει διαφέρουσιν ἀλλήλων, ἀλλὰ τρόπῳ τῆς ὑπάρξεως. Δαμασ.

Ὁρᾷς τρόπον ὑπάρξεως τὴν ἐκπόρευσιν; καὶ ἄλλον δηλαδὴ τῆς τε ἀγεννησίας τοῦ πατρὸς, καὶ τῆς τοῦ υἱοῦ γεννήσεως; ὡς δὲ καὶ ἄληπτός τε καὶ ἄγνωστος, ὥσπερ καὶ τὴν τοῦ υἱοῦ γέννησιν; οὐ πάντως δὲ ἡ χορηγία καὶ ἡ πέμψις, ἄληπτος ἐστὶ καὶ ἄγνωστος, καὶ ὑπὸ χρόνον πεπερασμένη, καὶ βουλήσεως ἔργον· καὶ δεικνὺς τοὺς τρόπους τούτους τῶν ὑπάρξεων, καὶ τῆς αὐτῆς οὐσίας ὄντας; ὡς δὲ καὶ τὰς ἀξίας εἰς ὑπόδειγμα τὰς γενέσεις εἰσάγει, τῶν ὑπαρξάντων ἀρχῆθεν κατ' εἰκόνα Θεοῦ; τί δὲ καὶ πάλιν λέγεις εἰς τὸ, ἥτις οὐ σημαίνει οὐσίας διαφορὰν, οὐδὲ

ἀξίωμα; ἆρ' οὖν ὑμεῖς οὐκ ἀξιωμάτων διαφοραῖς, καταμερίζετε τὴν
τρισυπόστατον μίαν θεότητα, πρῶτον, καὶ δεύτερον, καὶ τρίτον, λέγοντες τῇ
Ὁ αὐτός. „ ἀξίᾳ; διὰ τοῦτο γὰρ πάλιν μετ' ὀλίγα λέγει· μόνος γὰρ ὁ πατὴρ ἀγέν-
„ νητος· οὐ γὰρ ἐξ ἑτέρας ἐστὶν αὐτῷ ὑποστάσεως τὸ εἶναι. καὶ μόνος ὁ υἱὸς
„ γεννητὸς, ἐκ τῆς τοῦ πατρὸς οὐσίας ἀνάρχως καὶ ἀχρόνως γεγέννηται. καὶ μόνον
„ τὸ ἅγιον πνεῦμα ἐκπορευτὸν ἐκ τῆς οὐσίας τοῦ πατρὸς, οὐ γεννώμενον ἀλλ' ἐκ-
„ πορευόμενον, οὕτω με τῆς θείας διδασκούσης γραφῆς. τοῦ δὲ τρόπου τῆς
„ γεννήσεως, καὶ τῆς ἐκπορεύσεως, ἀκαταλήπτου ὑπάρχοντος. καὶ τοῦτο δὲ ἰ-
„ στέον, ὡς οὐκ ἐξ ἡμῶν μετηνέχθη ἐπὶ τὴν μακαρίαν θεότητα, τὸ τῆς
πατρότητος, καὶ υἱότητος, καὶ ἐκπορεύσεως, ὄνομα. τοὐναντίον δὲ, ἐκεῖθεν ἡ-
Πρὸς Ἐφεσίους γ'. „ μῖν μεταδίδοται, ὡς ὁ θεῖος φησὶν Ἀπόστολος· διὰ τοῦτο κάμπτω τὰ γό-
„ νατά μου πρὸς τὸν Θεὸν καὶ πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ
ἐπὶ γῆς. Ὁρᾷς πάλιν τὸν θεῖον Δαμασκηνὸν ἀνακηρύττοντα τὸ ἀγέν-
νητον τοῦ πατρὸς, τὸ γεννητὸν τοῦ υἱοῦ, καὶ τὸ ἐκπορευτὸν τοῦ ἁγίου πνεύμα-
τος, ἀνάρχους καὶ ἀχρόνους τρόπους τῶν ὑπάρξεων τούτων; ὡς δὲ καὶ ἀκα-
ταλήπτους, καὶ τὴν θείαν γραφὴν τοῦτο διδάσκουσαν προσβαλλόμενον·
καὶ ὅτι ἐκεῖθεν ἐκ τῆς μακαρίας θεότητος ἡμῖν μετηνέχθη τὸ τῆς πα-
τρότητος, καὶ υἱότητος, καὶ ἐκπορεύσεως, ὄνομα; ὡς καὶ κυρίως ἐκεῖσε λεγόμενα;
Ὁ αὐτός. „ διὸ καὶ πάλιν μετ' ὀλίγα φάσκει, ὁμοίως πιστεύομεν καὶ εἰς ἓν πνεῦμα ἅγιον,
„ τὸ κύριον, τὸ ζωοποιοῦν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀ-
„ ναπαυόμενον. εἰ γὰρ ἦν ταυτὸν τὸ ἐκπορεύεσθαι, τῷ τε χορηγεῖσθαι, καὶ
πέμπεσθαι, καὶ προχεῖσθαι. χορηγεῖται δὲ, καὶ πέμπεται, καὶ προχεῖται,
καὶ ἐκ τοῦ υἱοῦ, ἔδει λέγειν τὸν θεῖον τοῦτον Δαμασκηνὸν, ἐκπορεύεσθαι
καὶ ἐκ τοῦ υἱοῦ. ἀλλ' οὐ δ' ἄν τις ἐμμένων τῇ εὐσεβείᾳ, ὅλως τοῦτο εἰπεῖν τε-
τόλμηκεν. ἀλλ' ἐκπορεύεσθαι μὲν ἐκ πατρὸς, ἀναπαύεσθαι δὲ ἐν τῷ υἱῷ.
ἕτερον διδάσκων εἶναι τὸ ἐκπορεύεσθαι, καὶ ἐκ τοῦ πατρὸς τοῦτο λεγόμενον.
Ὁ αὐτός. „ διὸ καὶ μετ' ὀλίγα πάλιν φησὶν, ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ δι' υἱοῦ με-
„ ταδιδόμενον· ὥστε δηλονότι ἕτερον τὸ ἐκπορεύεσθαι, καὶ ἄλλο τὸ μετα-
δίδοσθαι, καὶ χορηγεῖσθαι. καὶ τὸ μὲν ἐκ τοῦ πατρὸς λεγόμενον, τὸ δὲ διὰ
„ τοῦ υἱοῦ, καὶ ἐκ τοῦ υἱοῦ· διὰ τοῦτο καὶ μετ' ὀλίγα πάλιν. ὁ μὲν γὰρ πατὴρ

ἀναίτιος

ἀναίτιος καὶ ἀγέννητος, οὐ γὰρ ἔκ τινος, οὐ δὲ ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχει. οὐ δὲ Ὁ αὐτός.
τι τῶν ὅσα ἔχει. αὐτὸς δὲ μᾶλλον ἐστὶν ἀρχὴ καὶ αἰτία τοῦ εἶναι, καὶ τοῦ
πῶς εἶναι φυσικῶς τοῖς πᾶσιν· ὁ δὲ υἱὸς, ἐκ τοῦ πατρὸς γεννητῶς· τὸ δὲ
πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ μὲν ἐκ τοῦ πατρὸς, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκ-
πορευτῶς. καὶ ὅτι μὲν ἐστὶ διαφορὰ γεννήσεως, καὶ ἐκπορεύσεως, μεμαθή-
καμεν· τίς δὲ ὁ τρόπος τῆς διαφορᾶς, οὐδαμῶς. ἅμα δὲ καὶ ἡ τοῦ υἱοῦ ἐκ
πατρὸς γέννησις, καὶ ἡ τοῦ παναγίου πνεύματος ἐκπόρευσις. Ὁρᾷς καὶ πάλιν
διαῤῥήδην διδάσκοντα τὸν θεῖον Δαμασκηνὸν τοὺς τρόπους τῶν ὑπάρ-
ξεων τῶν ἁγίων τριῶν ὑποστάσεων, καὶ τὰς χαρακτηριστικὰς αὐτῶν ἰ-
διότητας; καὶ ὅτι τὴν μὲν διαφορὰν τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως,
φάσκει, μεμαθηκέναι. τίνα δὲ τρόπον τῆς διαφορᾶς τυποῖ, οὐδαμῶς ὅ-
λως εἰδέναι τινὰ, ἀκαταλήπτου ὑπάρχοντος; αὐτοὶ δὲ ὑμεῖς καὶ μετὰ τῶν
ἄλλων ὑπονοιῶν ἃς ἔχετε, καὶ τοῦτο γινώσκειν φατέ. καὶ εἰκότως μαθη-
ταὶ ἐστὲ τοῦ γινώσκειν φρυαξαμένου τίνα τε εἶναι τὴν τοῦ Θεοῦ οὐσίαν. εἰ
δὲ καὶ ἅμα ἐστὶν ἐκ τοῦ πατρὸς, ἥ τε τοῦ υἱοῦ γέννησις, καὶ ἡ τοῦ παναγίου
πνεύματος ἐκπόρευσις, ἔστι δ' (ὥς φατε) ταὐτὸν ἡ ἐκπόρευσις τῇ ὑπὸ χρό-
νον χορηγίᾳ, πῶς οὐκ ἔστιν ὑπὸ χρόνον (καθ' ὑμᾶς αὐτοὺς) καὶ ἡ ἐκ τοῦ
πατρὸς τοῦ υἱοῦ γέννησις; καὶ πάλιν φησὶ, διὰ τὸν πατέρα ἔχει ὁ υἱὸς, καὶ Ὁ αὐτός.
τὸ πνεῦμα τὸ ἅγιον, πάντα ἃ ἔχει· τουτέστι διὰ τὸν πατέρα ἔχει αὐ-
τά. πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως· ἐν
ταύταις γὰρ μόναις ταῖς ὑποστατικαῖς ἰδιότησι, διαφέρουσιν ἀλλήλων
αἱ ἁγίαι τρεῖς ὑποστάσεις, οὐκ οὐσίᾳ, τῷ δὲ χαρακτηριστικῷ τῆς οἰκείας
ὑποστάσεως, ἀδιαιρέτως διαιρούμεναι. Ὁρᾷς καὶ πάλιν τὴν ἀγεννησίαν,
καὶ τὴν γέννησιν, καὶ τὴν ἐκπόρευσιν, χαρακτηριστικάς τε καὶ ὑποστατι-
κὰς ἰδιότητας ἀνακηρύττοντα τοῦτον; καὶ ἐν ταύταις ἀδιαιρέτως διαι-
ρουμένας τὰς τρεῖς τῆς θεότητος ὑποστάσεις; οὐ πάντως δὲ καὶ ἡ ἀποστο-
λή τε καὶ πέμψις, χαρακτηριστικά τε καὶ ὑποστατικὰ εἰσὶν ἰδιώματα.
ἐπειδήπερ οὐ μόνον τὸ πνεῦμα τὸ ἅγιον ἀπεστάλη, ἀλλ' οὕτω γε καὶ ὁ υἱός.
διὰ τοῦτο καὶ μετ' ὀλίγα πάλιν φησί· κατὰ πάντα ἕν εἰσιν ὁ πατὴρ, καὶ Ὁ αὐτός.
ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως,

καὶ

καὶ τῆς ἐκπορεύσεως. ἕνα γὰρ Θεὸν γινώσκομεν, ἐν μόναις ταῖς ἰδιότησι τῆς τε πατρότητος, καὶ τῆς υἱότητος, καὶ τῆς ἐκπορεύσεως. καὶ μετ᾽ ὀλίγα πάλιν· ἓν πνεῦμα ἅγιον, τὸ ἅγιον πνεῦμα, προϊὸν μὲν ἐκ τοῦ πατρὸς, οὐχ υἱϊκῶς δὲ, ἀλλ᾽ ἐκπορευτῶς. οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας, διότι γεγέννηκεν· οὔτε τοῦ υἱοῦ τῆς γεννήσεως, ὅτι ἐκ τοῦ ἀγεννήτου, πῶς γάρ; οὔτε τοῦ πνεύματος, ἢ εἰς πατέρα μεταπίπτοντος, ἢ εἰς υἱὸν, ὅτι ἐκπορεύεται, καὶ ὅτι Θεός. ἡ γὰρ ἰδιότης, ἀκίνητος. ἢ πῶς ἂν ἰδιότης μένοι, κινουμένη καὶ μεταπίπτουσα; Ὁρᾷς ἐν τούτοις ὅτι αἱ ἰδιότητες, ἥ τε πατρότης, καὶ υἱότης, καὶ ἡ ἐκπόρευσις, ἀκίνητοι παντάπασι καθεστήκασι, καὶ οὐ μεταπίπτουσιν, ὡς τρόποι ὑπάρξεως; διὰ τοῦτο καὶ πάλιν ἐν τοῖς

Ὁ αὐτός.

περὶ τῶν ἐπὶ Θεοῦ λεγομένων οὕτω φησί· διακεκριμμένως τὸ πατὴρ, τὸ υἱὸς, καὶ τὸ πνεῦμα· καὶ τὸ αἴτιον, καὶ τὸ αἰτιατὸν, καὶ τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν, καὶ ἐκπορευτόν. ἅτινα οὐκ οὐσίας εἰσὶ δηλωτικὰ, ἀλλὰ τῆς πρὸς ἄλληλα σχέσεως, καὶ τοῦ τῆς ὑπάρξεως τρόπου. Εἰ οὖν τὸ αἴτιον καὶ τὸ αἰτιατὸν, ἀκίνητα, ὡς ἰδιότητες, πῶς ὁ υἱὸς, καὶ αἰτιατὸς ὡς υἱὸς, καὶ αἴτιος ὡς ὁμοφυοῦς τοῦ παναγίου πνεύματος (κατὰ σὲ) κἀκ τούτου καὶ αἰτιατὸν, καὶ αἴτιος εὑρισκόμενος, καὶ συγχέων ἐν ἑαυτῷ τὰς ἰδιότητας; Τί δέ σοι πάλιν δοκεῖ καὶ ὁ θεολόγος ὁ θεῖος, τὴν ἐκ τοῦ πατρὸς ἐκπόρευσιν τοῦ παναγίου πνεύματος, ἀχρόνως λέγων ὑπάρχειν καὶ ὑπὲρ λόγον, ὥσπερ δῆτα καὶ τὴν γέννησιν τοῦ υἱοῦ, καὶ τὴν ἀγεννησίαν τοῦ πατρὸς, καὶ αὐτὸν τὸν θεὸν λόγον τούτου μάρτυρα προβαλλόμενον; ἆρ᾽ οὖν ἀποπέμψῃς καὶ τοῦτον, ὡς τὰ μὴ κατὰ τὴν σὴν γνώμην διδάσκοντα; ἐν γὰρ

Γρηγ. θεο.

τῷ περὶ υἱοῦ πρώτῳ λόγῳ, διαρρήδην οὕτω βοᾷ· διὰ τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τὸ ἀγέννητον εἰσάγομεν, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ὥς που φησὶν αὐτὸς ὁ Θεὸς λόγος· πότε οὖν ταῦτα; ὑπὲρ τὸ πότε ταῦτα. εἰ δὲ δεῖ τι καὶ νεανικώτερον εἰπεῖν, ὅτε ὁ πατήρ. πότε δὲ ὁ πατήρ; οὐκ ἦν ὅτε οὐκ ἦν. τοῦτο οὖν καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. πάλιν ἐρώτα με, καὶ πάλιν ἀποκρινοῦμαί σοι. πότε ὁ υἱὸς γεγέννηται; ὅτε ὁ πατὴρ οὐ γεγέννηται. πότε δὲ τὸ πνεῦμα ἐκπεπόρευται; ὅτε ὁ υἱὸς οὐκ ἐκπεπόρευται, ἀλλὰ γεγέννηται ἀχρόνως, καὶ ὑπὲρ λόγον.

λόγον. Τί ταύτης τῆς μαρτυρίας γένοιτ' ἂν ἐκδηλότερον, ἢ ἀληθέστερον, τοῖς μὴ τὰς ὄψεις τυφλώττουσι; τούτοις οὖν ἀκόλουθα καὶ πρὸς Ἥρωνα τὸν φιλόσοφον φθέγγεται.

Ὁ αὐτός.

κοινὸν μὲν γὰρ πατρί, καὶ υἱῷ, καὶ ἁγίῳ πνεύματι, τὸ μὴ γεγονέναι, καὶ ἡ θεότης. υἱῷ δέ, καὶ ἁγίῳ πνεύματι, τὸ ἐκ τοῦ πατρός. ἴδιον μὲν πατρός, ἡ ἀγεννησία. υἱοῦ δέ, ἡ γέννησις. πνεύματος δέ, ἡ ἔκπεμψις. εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλείψεις τοῖς μόνοις γινώσκειν ἄλληλα, καὶ γινώσκεσθαι ὑπ' ἀλλήλων μαρτυρουμένοις, ἢ καὶ ἡμῶν τοῖς ἐκεῖθεν ἐλλαμφθησομένοις ὕστερον; γενοῦ τι τῶν εἰρημένων πρότερον, ἢ τοιοῦτος, καὶ τότε γνώσῃ τοσοῦτον, ὅσον ὑπ' ἀλλήλων γινώσκεσθε. Ὁρᾷς πάλιν καὶ τοῦτον, ὑποστατικὰς ἰδιότητας ὀνομάζοντα τήν τε ἀγεννησίαν τοῦ πατρός, τήν τε γέννησιν τοῦ υἱοῦ, καὶ τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος; καὶ τοὺς αἱρετικοὺς σφοδρῶς ἐπιτιμῶντα, καὶ διασύροντα, ζητοῦντας τὸν τρόπον τῆς διαφορᾶς, τῆς γεννήσεως τοῦ υἱοῦ, καὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, ὅλως ἀνεξερεύνητον ὄντα καὶ ἀκατάληπτον;

Ὁ αὐτός.

διὸ καὶ ἐν ἄλλῳ λόγῳ, πάλιν φησὶν οὕτω. τὸ μὲν οὖν ἀγέννητον, καὶ τὸ γεννητόν, καὶ τὸ ἐκπορευτόν, λεγέσθω τε καὶ νοείσθω. οὐ γὰρ δείσομεν μή ποτε νοῆται σωματικῶς τὰ ἀσώματα, ὅπερ δοκεῖ τοῖς ἐπηρεασταῖς τῆς θεότητος. Ὁρᾷς καὶ πάλιν τοῦτον παραινοῦντά τε καὶ διδάσκοντα, ὁμολογεῖν καὶ πιστεύειν τὰς τρεῖς ταύτας ἰδιότητας τῆς ὑπερουσίου Τριάδος, κἂν τοῖς αἱρετικοῖς αὗται σωματικῶς νοῶνται; ἄκουσον δὲ πῶς καὶ πάλιν ἐνίσταται πρὸς τοὺς διαβάλλοντας αἱρετικούς, μὴ τρόπον εἶναι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, τὴν ἐκπόρευσιν.

Ὁ αὐτός.

ἐν γὰρ τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ, οὕτω διαῤῥήδην πρὸς ἐκείνους βοᾷ. ποῦ θήσεις τὸ ἐκπορευτὸν εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ κρείσσονος, (ἢ κατὰ σέ) θεολόγου τοῦ Σωτῆρος ἡμῶν εἰσαγόμενον; εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ἐξεῖλες εὐαγγελίων, διὰ τὴν τρίτην σου διαθήκην, τὸ πνεῦμα τὸ ἅγιον ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὃ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα. καθόσον δὲ οὐ γεννητόν, οὐχ υἱός. καθόσον δὲ ἀγεννήτου καὶ γεννητοῦ μέσον, Θεός. Ὁρᾷς καὶ ταῦτα; τίς γὰρ ἂν οὕτω μαινόμενος καὶ παραπαίων τὰς φρένας, ταῦτα ἀκούων, πειρῷ λέγειν μὴ τρό-

τρόπον εἶναι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως, τὴν ἐκπόρευσιν; πλὴν ὅρα, καὶ τὸ καθόσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα· εἰ γὰρ τὸ ἐκπορεύεσθαι ταυτὸν τῷ ἀποστέλλεσθαι, (κατὰ σέ) ἀποστέλλονται δὲ καὶ λειτουργικὰ πνεύματα, οὐ κτίσματα πάντως καὶ ταῦτα (κατὰ σέ.) ἀλλὰ μὴν κτίσματα. οὐκ ἄρα τὸ ἐκπορεύεσθαι, ταυτὸν τῷ ἀποστέλλεσθαι. διὰ τοῦτο καὶ μετ' ὀλίγα πάλιν ἐπεισάγει τὸν αἱρετικὸν ὡς μαινόμενον, καὶ παραπληξίαν ἐρωτῶντα, τίς ἡ ἐκπόρευσις· διὸ καὶ μετὰ πολλῆς τῆς σφοδρότητος

Ὁ αὐτός. » ἀποκρίνεται τούτῳ, εἰπέ σὺ τὴν ἀγεννησίαν τοῦ πατρὸς, λέγων, κἀγὼ τὴν
» γέννησιν τοῦ υἱοῦ, φυσιολογήσω, καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παρα-
» πληκτίσωμεν ἄμφω, εἰς Θεοῦ μυστήρια παρακύπτοντες. καὶ ταῦτα τίνες;
» οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι. Ὁρᾷς καὶ ἐν ταῦθα μετὰ πόσης σφοδρότητος ἀποκρούεται τὸν πνευματομάχον, ἀθετοῦντα τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος, τρόπον εἶναι τῆς θείας αὐτοῦ ὑπάρξεως; διόπερ καὶ πάλιν ἐπιβεβαιῶν τοῦτο, καὶ διδάσκων οὕτως ὁμολογεῖν καὶ πιστεύειν, καὶ αὐτὸν τὸν Χριστὸν ἐπεισάγει μάρτυρα τούτου, φάσκων οὑτωσὶ μετ' ὀλίγα.

Ὁ αὐτός. » αὐτὸ δὲ τὸ μὴ γεγεννῆσθαι, καὶ τὸ γεγεννῆσθαι, καὶ τὸ ἐκπορεύεσθαι, τὸν μὲν
» πατέρα, τὸν δὲ υἱὸν, τὸ δὲ, τοῦθ' ὅπερ λέγεται, πνεῦμα ἅγιον, προσηγό-
» ρευσεν· ἵνα δὲ τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων, ἐν τῇ μιᾷ
» φύσει τε καὶ ἀξίᾳ τῆς θεότητος· οὔτε γὰρ ὁ υἱὸς πατήρ. εἷς γὰρ πατήρ. οὔ-
» τε τὸ πνεῦμα υἱὸς, ὅτι ἐκ τοῦ Θεοῦ, εἷς γὰρ μονογενὴς, ἀλλ' ὅπερ ὁ υἱός· ἓν
» τὰ τρία θεότητι. καὶ τὸ ἓν τρία ταῖς ἰδιότησιν, ἵνα μήτε τὸ ἓν σαβέλ-
» λιον ᾖ, μήτε τὰ τρία τῆς πονηρᾶς νῦν διαιρέσεως. Ὁρᾷς καὶ ἐν ταῦθα τὰς τρεῖς ἰδιότητας, μιᾶς καὶ τῆς αὐτῆς οὔσης ἀξίας; ὥστε οἱ λέγοντες μείζονα εἶναι τῇ ἀξίᾳ τὴν ἀγεννησίαν τοῦ πατρὸς. δευτέραν δὲ τῇ ἀξίᾳ τὴν γέννησιν τοῦ υἱοῦ. καὶ τρίτον τῇ ἀξίᾳ τὴν ἐκπόρευσιν τοῦ παναγίου πνεύματος, αἱρετικοί εἰσι, καὶ τῆς πονηρᾶς νῦν διαιρέσεως. διὰ τοῦτο καὶ μετ' ὀλίγα

Ὁ αὐτός. » πάλιν ἐπάγει· ὅτι καὶ ἡ τοῦ ἑνὸς προσκύνησις, τῶν τριῶν ἐστὶ προσκύνη-
» σις, διὰ τὸ ἐν τοῖς τρισὶν ὁμότιμον τῆς ἀξίας, καὶ τῆς θεότητος. καὶ εἶχον ἂν καὶ τοὺς λοιποὺς θείους πατέρας καὶ διδασκάλους τῆς εὐσεβείας, εἰς μαρτυρίαν προβάλλεσθαι τοῦ λόγου, καὶ τὰς χρήσεις τούτων, ὅσας οὐδ' ἀριθ-

μῆσαι

μῆσαι ῥᾴδιον. ἀλλ᾽ ἐπειδήπερ οὐκ ἔστιν ἡμῖν πλῆθος μαρτυριῶν, ἔλεγχος δὲ μᾶλλον τοῦ μὴ ὑγιῶς δοξάζειν ὑμᾶς αὐτοὺς περὶ τῆς ὑπερουσίου Τριάδος, ἀρκεῖ ταῦτα.

Ὁ ΛΑΤΙ͂ΝΟΣ.

Ἔστι τὶ ἕτερον ὄνομα ἰσοδυναμοῦν τῷ ἐκπορεύεσθαι, ἢ μόνον τοῦτο τὸ ἐκπορεύεσθαι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως ἐστὶ δηλωτικόν;

ΚΕΦΑΛΑΙΟΝ ιϛ.

Ὅτι μόνον ἐστὶ ταὐτοσήμαντον τὸ προβάλλεσθαι τῷ ἐκπορεύεσθαι.

Ὁ ὈΡΘΟΔΟΞΟΣ.

Ἔστι πάντως καὶ τὸ προβάλλεσθαι. διὸ καὶ προβολέα τοῦ παναγίου πνεύματος φαμὲν τὸν πατέρα, πρόβλημα τοῦ πατρὸς, τὸ πνεῦμα τὸ ἅγιον, ὡς καὶ ὁ θεολόγος φησὶ Γρηγόριος. „ὁ μὲν γεννήτωρ, καὶ προβολεύς. τὸ „ Γρηγ. θεο. „μὲν γέννημα, τὸ δὲ πρόβλημα. „ οὐ μὴν δὲ καὶ τὸν υἱὸν προβολέα τοῦ παναγίου πνεύματος, ἢ τὸ πνεῦμα πρόβλημα τοῦ υἱοῦ. τοῦτο γὰρ οὐδεὶς ἐμμένων τῇ εὐσεβείᾳ, τετόλμηκεν ὅλως εἰπεῖν· αὐτοὶ δὲ ὑμεῖς ἐλεγχόμενοι ὑπό τε πάντων τῶν κατὰ μέρος θείων πατέρων, ὑπό τε τῶν ἁγίων καὶ οἰκουμενικῶν Συνόδων, ἀλλὰ δῆτα καὶ ἐξ αὐτοῦ τοῦ Σωτῆρος Χριστοῦ, λεγόντων ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον, μηδενὸς δὲ λέγοντος, καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι, ἢ τὸν υἱὸν γεγεννῆσθαι ἐκ τοῦ παναγίου πνεύματος, ἀλλ᾽ ἄμφω ἐκ τοῦ πατρὸς ἐχόντων τὴν ὕπαρξιν, τοῦ μὲν υἱοῦ γεννητῶς· τοῦ δὲ παναγίου πνεύματος ἐκπορευτῶς. καὶ τὸν πατέρα εἶναι, τοῦ μὲν υἱοῦ γεννήτορα, τοῦ δὲ παναγίου πνεύματος, προβολέα. οὐ μὴν δὲ καὶ τὸν υἱὸν προβολέα τοῦ παναγίου πνεύματος, ἢ τὸ πνεῦμα τὸ ἅγιον γεννήτορα τοῦ υἱοῦ. καὶ βουλόμενοι ἐκφεύγειν τὸν ἔλεγχον τὸν προφανῆ τε τοῦτον καὶ μέγιστον, συγχέετε τὴν ἐκπόρευσιν μετὰ τῶν λοιπῶν ὀνομάτων, φάσκοντες, τὸ αὐτὸ σημαίνειν, καὶ ἀδιάφορον εἶναι, τό, τε χορηγεῖσθαι, καὶ πέμπεσθαι, καὶ προχεῖσθαι, καὶ προϊέναι, καὶ ἐκλάμπειν· καὶ

οὐδὲ τὴν ἐκπόρευσιν φατὲ, τρόπον εἶναι τῆς τοῦ παναγίου πνεύματος ὑπάρξεως. Οὐκοῦν εἴπατε ἡμῖν ὦ οὗτοι, τὴν ἐκπόρευσιν μόνην αὐτὴν ἀθετεῖτε, τρόπον εἶναι τῆς τοῦ υἱοῦ ὑπάρξεως; εἰ μὲν οὖν τὴν ἐκπόρευσιν μόνην αὐτὴν ἀθετῆτε, φανερῶς ἐστὲ Μακεδονιανοὶ, καὶ φεύγομεν ὑμᾶς, ὡς ἀναθέματι πάλαι καθυποβεβλημένους, παρὰ τῆς οἰκουμενικῆς Δευτέρας ἁγίας Συνόδου. εἰ δὲ καὶ τὴν γέννησιν ἀθετῆτε, τρόπον εἶναι τῆς τοῦ υἱοῦ ὑπάρξεως, ἰδοὺ φανερῶς καὶ ἀρειανισμὸν ἐστερνίζεσθε. καὶ τί χρὴ λέγειν πρὸς ἀνέκαθεν ἀλλοτριωθέντας τῆς τοῦ Χριστοῦ μερίδος; ἡμῖν δὲ οἱ θεῖοι πατέρες καὶ τῆς εὐσεβείας διδάσκαλοι, οὕτω φασίν. ὁ μὲν υἱὸς ἀϊδίως, καὶ ἀνάρχως, καὶ ἀτελευτήτως, γεννᾶται ἐκ τοῦ Θεοῦ καὶ πατρός. καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ ἀϊδίως, καὶ ἀνάρχως, καὶ ἀτελευτήτως, ἐκπορεύεται ἐκ τοῦ Θεοῦ καὶ πατρός. ἄλλος οὗτος ὁ τρόπος ὑπάρξεως, ἄληπτός τε καὶ ἄγνωστος.

Ο ΛΑΤΙΝΟΣ.

Ἔστω τὸ ἐκπορεύεσθαι, τρόπον εἶναι μονώτατον τῆς τοῦ πνεύματος ὑπάρξεως, ὥσπερ καὶ τὸ γεννᾶσθαι, τρόπον εἶναι μονώτατον τῆς τοῦ υἱοῦ ὑπάρξεως. τί δὲ, οὐδὲ διὰ τοῦ υἱοῦ ὅλως χρὴ λέγειν ἐκπορεύεσθαι τὸ πνεῦμα τὸ ἅγιον; τοῦτο γὰρ φησὶν ὁ θεῖος Μάξιμος, οὑτωσὶ λέγων περὶ τοῦ
Μάξιμ. » πνεύματος· δι᾽ υἱοῦ γεννηθέντος ἀφράστως ἐκπορευόμενον. ἀλλὰ δὴ καὶ ὁ τῆς ἑβδόμης Συνόδου ἔξαρχος, ὁ θεῖος Ταράσιος ἐν τῇ .γ. πράξει τῆς
Ταράσιος· » αὐτῆς Ἑβδόμης Συνόδου, οὕτω φησὶ, τὸ διὰ τοῦ υἱοῦ ἐκ πατρὸς ἐκπορευό-
» μενον πνεῦμα ἅγιον.

Ο ΟΡΘΟΔΟΞΟΣ.

Πῶς ἐκλαμβάνετε, τὸ διὰ τοῦ υἱοῦ ἐκπορεύεσθαι τὸ ἅγιον πνεῦμα;

Ο ΛΑΤΙΝΟΣ.

Ὡς τὸν καρπὸν ἐκ τῆς ῥίζης, διὰ τοῦ κλάδου, ἔχειν τὴν ὕπαρξιν· καὶ τὸν δεῖνα, ἐκ τοῦ δεῖνα τοῦ οἴκου, διὰ τῆς θύρας, ἐξέρχεσθαι. καὶ τὸ δεῖνα τὸ ὕδωρ, διὰ τοῦ ποταμοῦ, ἢ καὶ διὰ τοῦ σωλῆνος, ἐκ τῆς πηγῆς. καὶ τὸ φῶς, διὰ τῆς ἀκτῖνος, ἐκ τοῦ ἡλίου. ταῦτα γὰρ λέγονται οὐ μόνον δι᾽ αὐτῶν, ἀλλὰ καὶ ἐξ αὐτῶν. ὁ γὰρ καρπὸς, διὰ τοῦ κλάδου, καὶ ἐκ τοῦ κλάδου. καὶ ὁ ἐξερχόμενος, διὰ τῆς θύρας. καὶ τὸ ὕδωρ, διὰ τοῦ ποταμοῦ, ἢ

σωλῆνος,

σωλῆνος, καὶ ἐξ αὐτῆς. καὶ τὸ φῶς, διὰ τῆς ἀκτῖνος, καὶ ἐκ τῆς ἀκτῖνος.

Ὁ ΟΡΘΟΔΟΞΟΣ.

Ὡς θαυμαστά σου τὰ ὑποδείγματα. ἐξ οἰκείων λογισμῶν σὺ ταῦτα μόνος ἐξεῦρες, ἢ καὶ οἱ σοφώτατοι ταῦτα παρδικαπῶλοι σ' ἐδίδαξαν; πλὴν σκόπησόν σου τὰ ὑποδείγματα, εἰ πρὸς ἄλληλα ταῦτα ταυτίζωνται, καὶ τότε εἰς ἔμφασιν τῆς ὑπερυμνήτου Τριάδος, ἀθαρρότως ταῦτα ὑποδεξόμεθα. ἆρ' οὖν ὥσπερ ὁ καρπὸς ἔχει τὴν ὕπαρξιν διὰ τοῦ κλάδου, καὶ ἐκ τοῦ κλάδου. καὶ τὸ φῶς, καὶ τὸ ὕδωρ, διὰ τοῦ σωλῆνος, καὶ τῆς ἀκτῖνος, καὶ ἐξ αὐτῆς. ὁ μὲν γὰρ καρπὸς, ἀληθῶς ἔχει τὴν ὕπαρξιν διὰ τοῦ κλάδου, καὶ ἐκ τοῦ κλάδου. ἀλλὰ δυνάμει μὲν ἐστὶν ἐκ τῆς ῥίζης· τὸ δὲ δυνάμει, ἀτελεσφόρητον πάντως, καὶ γίνεται, καὶ οὐκ ἔστι. τὸ γὰρ γινόμενον, οὐκ ἔστι φασὶν οἱ περὶ ταῦτα σοφοί· εἰ οὖν τὴν τοῦ καρποῦ πρόοδον ὅλως δεξώμεθα εἰς ὑπόδειγμα τῆς ἐκπορεύσεως τοῦ παναγίου πνεύματος, ἁμαρτάνομεν οὐ μικρῶς. εὑρίσκεται γὰρ τὸ πνεῦμα τὸ ἅγιον, δυνάμει ὂν ἐκ πατρὸς, καὶ ἀτελεσφόρητον πάντως, καὶ οὐ Θεὸς ὁ ἐξερχόμενος· οὐ μόνον διὰ τῆς θύρας, καὶ ἐκ τῆς θύρας, οὐκ ἔχει τὴν ὕπαρξιν, ἀλλ' οὐδὲ ἐξ αὐτοῦ ὅλως τοῦ οἴκου. τὸ δὲ φῶς, ἐκπέμπεται μὲν διὰ τῆς ἀκτῖνος, οὐ μὴν δὲ καὶ τὴν ὕπαρξιν διὰ τῆς ἀκτῖνος ἔχει, καὶ ἐκ τῆς ἀκτῖνος. ἀλλ' ἐκ τοῦ ἡλίου ἀμέσως. ἐκπέμπεται δὲ ἡμῖν, καὶ διὰ τῆς ἀκτῖνος, καὶ ἐκ τῆς ἀκτῖνος. καὶ τοῦ μὲν παρεμφερὲς τὸ ὑπόδειγμα, οὐκ εἰς τὴν τοῦ παναγίου πνεύματος ἐκπόρευσιν, ἀλλ' εἰς τὴν πρὸς ἡμᾶς αὐτοῦ ἔκπεμψίν τε καὶ χορηγίαν. ἐκπέμπεται γὰρ ἡμῖν καὶ χορηγεῖται διὰ τοῦ υἱοῦ, καὶ ἐκ τοῦ υἱοῦ, τὸ πνεῦμα τὸ ἅγιον. τὸ δὲ τοῦ ὕδατος ὑπόδειγμα, καὶ αὐτὸ μὲν ἐκ τῆς πηγῆς ἔχει τὴν ὕπαρξιν, εἰ καὶ ὅλως τοῦτο συγχωρήσωμεν, διὰ δὲ τοῦ σωλῆνος, ἢ ἐκ τοῦ σωλῆνος, οὐδαμῶς. μόνον δὲ κατὰ τοπικὴν ἐξέλευσιν λέγεται, διὰ τοῦ σωλῆνος, καὶ ἐκ τοῦ σωλῆνος. περὶ δὲ τοῦ ποταμοῦ ἔχει τινὰ διαφωνίαν· διὸ καὶ πάλιν ἐρωτητέον. τίνα φατὲ ποταμὸν εἶναι, τὴν φαραγγώδη γῆν καὶ ὀχθηφόρον, ἢ τὸ ἐκτρέχον καὶ διαρρέον ὕδωρ; εἰ μὲν τὴν φαραγγώδη καὶ ὀχθηφόρον γῆν, οὐ δ' ἄλλως

τὸ ὕδωρ ἔχει δι' αὐτοῦ, ἢ καὶ ἐξ αὐτοῦ τὴν ὕπαρξιν. ἔστι δὲ ὥσπερ ἐκ τοῦ σωλῆνος, οὕτω δὴ καὶ ἐξ αὐτοῦ κατὰ τοπικὴν ἐξέλευσιν. εἰ δὲ τὸ ἐκτρέχον ὕδωρ καὶ διαῤῥέον, ποταμὸν εἶναι φατὲ, πάντως καθ' ὑλικὴν ἐστὶ τὸ ὕδωρ ἐκ τοῦ ποταμίου ὕδατος (ὡς καὶ προειπόμεν) καὶ οὐ κατὰ τρόπον ὑπάρξεως.

Ο ΛΑΤΙΝΟΣ.

